συνεννοέω, ἔχω ἐν τῷ νῷ ὁμοῦ ἢ συγχρόνως, Νικήτ. Εὐγεν. — Μέσ., Εὐστ. 71. 29, κτλ.

συνεννοητέον, ῥημ. ἐπίθετ. τοῦ **συνεννοέω**, δεῖ συνεννοεῖν, Εὐστ. εἰς Ἰω. Δαμασκ. ἐν Spicil. Rom. τ. V, σ. 313.

συνενόομαι, πρκμ. **συνένωμαι** ἢ **-ήνωμαι**·— Παθητ., συνενοῦμαι, ἑνοῦμαι εἰς ἕν, Ἀριστ. Φυσιογν. 6, 10, Σέξτ. Ἐμπ. π. Μ. 9. 130, Ἰωσήπ. Ἰουδ. Πόλ. 5. 4, 3, κτλ.

συνέντᾰσις, ἡ, τὸ συντείνειν, ἡ ἀπὸ κοινοῦ ἔντασις ἢ πίεσις, Πλουτ. 2. 589A, 901D,

συνεντάσσω, συγκατατάσσω, ὧν εἴ τις τὰς λέξεις εἰς ἓν συναγάγοι, συνεντάσσων καὶ τὰς συνηγμένας Τιμαίῳ Φωτ. Βιβλιοθ. 100. 21.

συνεντᾰφιάζω, ἐνταφιάζω ὁμοῦ, συνθάπτω, Θεοδώρου Προδρ. Ἐπιστ. 9.

συνεντείνω, ἐντείνω ὁμοῦ, παραινετέον αὐταῖς συνεντείνειν τὸ πνεῦμα Σωραν. περὶ Γυναικ. Παθῶν 88 ἐν τέλει, ἔκδ. Dietz.— Παθ., ὁμοῦ ἐκτείνομαι, τὴν ψυχὴν συνεντεινομένην τῷ σώματι Μουσώνιος παρὰ Στοβ. 370. 34.

συνέντευξις, ἡ, = **συντυχία**, Ἡσύχ.

συνέντας· «γνόντας» Ἡσύχ.

συνέντης, ὁ, = **συνεργός**, Ἡσύχ.· πρβλ. **αὐθέντης**.

συνεντρῠφάω, ἐντρυφῶ ὁμοῦ, Θεοφύλ. Βουλγαρίας τ. 3, σ. 706.

συνεντυμβεύω, ἐνθάπτω ὁμοῦ, συνθάπτω, συνεντυμβεύοντες αὐτοῖς ἱππάρια Νικήτ. Ἄλ. σ. 409A.

συνενυπόστατος, ον, ὁ ὁμοῦ ἐνυπόστατος, ὁ ὄντως ἐνυπαρχων ὁμοῦ, τῆς σαρκός, ταὐτὸν δέ ἐστι καὶ τοῦ ἀνθρώπου, συνενυπόστατος ἡ θεότης ἐν Χριστῷ Λεόντιος ἐν Maji Coll. Vat. τ. 9, σ. 596.

συνένωσις, εως, ἡ, ἡ εἰς ἓν ἕνωσις, μίαν ἑνότητα σημαίνων τῆς τοῦ λόγου συνενώσεως Ἐπιφάν. τ. 1, σ. 487A, 485A.

σύνεξ, ἓξ ὁμοῦ, σύμπεντε καὶ σύνεξ τριηραρχοῦντες μέτριον ἀνήλισκον Ὑπερείδ. παρ' Ἁρποκρ. ἐν λέξ. **συμμορία**.

συνεξαγγέλλω, ἐξαγγέλλω ὁμοῦ, Δίδ. Ἀλεξ. σ. 354, ἔκδ. Mi.

συνεξαγριαίνων ὁ ποιητὴς τῷ Ἀχιλλεῖ τὸν παραβολικὸν λέοντα Εὐστάθ. εἰς Ἰλ. σ. 1275, 62, Συναγ. Λέξ. Ἀθησ. Κουμανούδη.

συνεξαγριοῦσθαι, ἐξαγριοῦσθαι ὁμοῦ, Εὐστάθ. εἰς Ὀδ. σελ. 1702, 45.

συνεξάγω, ἐξάγω ὁμοῦ, στρατιὴν Ἡρόδ. 5. 75· ἕως ἂν εἰς φῶς τὸ σὸν δόγμα ξυνεξαγάγω Πλάτ. Θεαίτ. 157D. **II**. συντελῶ πρὸς ἐξαγωγήν, οἱ ἔμετοι συν. τὸ γλίσχρον Ἀριστ. Προβλ. 2. 22, πρβλ. 37. 2· ἥλιος σ. τὴν ὑγρότητα Θεοφρ. π. Φυτ. Αἰτ. 4. 13, 5· τοὺς συναγωνιστὰς Πλούτ. 2. 787· συν. ἑαυτόν, ἐπὶ αὐτοκτονίας, Ἀπγ. Ἐμφυλ. 4. 23. **2)** Παθητ. ὡσαύτως, σ. μανίῃ, παραφέρομαι, συμπαρασύρομαι, Ἀνθ. Πλαν. 128.

συνεξαιθερόω, μεταβάλλω ὁμοῦ εἰς αἰθέρα, ὅτι τὰ τῶν νεκρῶν σώματα ἔκαιον συνεξαιθεροῦντες αὐτὰ τῇ ψυχῇ Ἰω. Λυδ. περὶ Μην. 3. 27, Συνέσ. 141B.

συνεξαιθριάζω, ἐκθέτω ὁμοῦ εἰς αἴθριον τόπον, Διοσκ. 3. 163.

συνεξαιματόω, αἱματόω ὁμοῦ, συνεξαιματοῦνται δ' αὐτῷ λίμναι Φίλων 2. 96.

συνεξαιρέω, ἐξάγω ὁμοῦ, συνεκβάλλω, συνεξελέειν ὑμῖν τὸ θηρίον ἐκ τῆς χώρης Ἡρόδ. 1. 36. — Μέσ., συμφόνευε καὶ συνεξαίρει δόμων Εὐρ. Ἴων 1044· σ. τὸ διανοεῖσθαι, ἀφαιρῶ ὁμοίως, Ξεν. Κυν. 5, 28. **2)** βοηθῶ εἰς κατάληψιν ἢ κυρίευσιν, συγκυριεύω, σ. τινι πόλιν Ξεν. Ἑλλ. 7. 4, 12· μετά τινος Αἰσχίν. 32. 28· οὕτω, σ. δορὶ Εὐρ. Ἴων 61· Φρύγας ὁ αὐτ. ἐν Τρῳ. 24· Τροίαν Ἰσοκρ. 192C. **II**. διασώζω, ἀπολυτρώνω ὁμοῦ, Πολύβ. 5. 11, 5.

συνεξαίρω, ὁμοῦ ἐξαίρω, ὑψώνω, κάμνω νὰ ὑψωθῇ, συνεξαίροντα μὲν ἐκείνην (δηλ. τὴν θάλασσαν) ὥστε πλημμυρεῖν Στράβ. 173· συνεξαρθεὶς ὑπό τινων, ὑψωθεὶς ἐν τῷ ἅμα, Πλουτ. Ἀντων. 12. **2)** μεταφ., συνεξαίρω τὴν ἠχώ, συνεργῶ εἰς ἐξέγερσιν τῆς ἠχοῦς, Φιλόστρ., ἴδε Ἰακώψιον σελ. 321, πρβλ 219· σ. τὴν φιλοτιμίαν Πλούτ. 2. 819F· τοῦ βασιλέως συνεξαρθέντος τοῖς λόγοις, ἐξαρθεὶς συγχρόνως διὰ τῶν λόγων.., Διόδ. 17. 72· πρός τι Λουκ. π. Οἴκ. 4. **II**. ἀμεταβ., ὑψοῦμαι ὁμοῦ, ἐπὶ τῶν ὑδάτων τῆς θαλάσσης, Στράβ. 51·— ἐξέρχομαι ὁμοῦ μετά τινος, τινὶ ὁ αὐτ. 760· ἐπὶ ἀποικιῶν, Πολύβ. 12. 5, 8 (τὸ 3. 68, 8 νῦν μετεβλήθη).

συνεξᾰκολουθέω, ἐξακολουθῶ ἀπαύστως, παρακολουθῶ, πανταχοῦ, συνεξακολουθεῖ τινι ὄνειδος Πολύβ. 2. 7, 3, πρβλ. 58, 11· τὸ νικᾶν σ. τινι 3. 63, 11, κτλ.· συνεξηκολούθει αὐτῷ ἀσέλγεια, κατέστη συνήθης εἰς αὐτόν, 37. 2, 4· τὰ συνεξακολουθοῦντα τούτοις, τὰ ἐπακόλουθα, τὰ ἀποτελέσματα, 3. 109. 9. **2)** ἐπὶ γεγονότων, ἀποβαίνω συμφώνως πρός τι, τινι 18. 15, 12· τὸ σ. τούτοις, τὰ ἐπακόλουθα αὐτῶν, τὰ ἀποτελέσματα, 3. 55, 3. **3)** παρὰ τοῖς γραμμ. = **συνεκτρέχω**, Εὐστ. 630. 20, Ἀνέκδ. Ὀξ. 1. 97· ὡσαύτως οὐσιαστ. **-ησις**, εως, ἡ, παρ' Εὐστ. ἔνθ' ἀνωτ.

συνεξᾰκοντίζομαι, Παθ., ἐξακοντίζομαι, ἐκτινάσσομαι ὁμοῦ μετά τινος, «ἐγκέφαλος δὲ συνεξηκοντίσθη τῇ προμήκει ῥύσει τοῦ αἵματος» Εὐστ. 1108 3.

συνεξᾰκούω, μέλλ. **-ούσομαι**, ἀκούω περί τινος πράγματος ὁμοῦ, καὶ ταῦτα πολλοὶ συνεξήκουον ὡσαύτως ἐμοὶ Σοφ. Τρ. 372· τινος Πλούτ. 2. 720D. **II**. συνυπονοῶ ἐκ τῶν συμφραζομένων, Σέξτ. Ἐμπ. π. Μ. 7. 241· «ὅρα ὅτι ἐν τῷ «παραρρητοὶ ἐπέεσσι' περιττῶς κεῖνται τὰ ἔπη, ὡς συνεξακουόμενα τῷ παραρρητοί» Εὐστ. 769. 58, κτλ.·— ῥημ. ἐπίθ. **συνεξακουστέον**, δεῖ συνεξακούειν, Σχόλ. εἰ. Στράβ. σ. 427 Falc.

συνεξᾰλείφω, ἐξαλείφω ὁμοῦ, ἡδομένων πάντων καὶ νομιζόντων συνεξαλείφεσθαι τὴν τότε τυραννίδα Πλουτ. Κάτων Νεώτ. 17, ἐν τέλει, Γρηγ. Νύσσ. τ. 1, σ. 657D, κτλ.

συνεξαλλάσσω, ἀλλάσσω ὁμοῦ μετά τινος, συνεξαλλάσσει τῷ χρόνῳ τὸ ἄνθος Γρηγ. Ναζ. 3, 157A, κτλ.

συνεξάλλομαι, ἀποθ., ἐκπηδῶ ὁμοῦ μετά τινος, συνεξαλλόμενος ἐκείνῳ Εὐστ. 837. 26.

συνεξᾰμαρτάνω, ἁμαρτάνω, σφάλλομαι ὁμοῦ μετά τινος, Θουκ. 3. 43, Λυσί. 97. 29, κτλ.· τινι, μετά τινος, Ἰσοκρ. 119E, Δημ., κλπ.· μετά τινος Ἀντιφῶν 138. 18· σ. τοῖς ἀσεβήμασί τινος Πολύβ. 5. 11, 1.

συνεξᾰμείβω, μετακινοῦμαι, μεταβαίνω εἰς ἄλλον τόπον ὁμοῦ, συνεξαμείβειν δεσπόταισιν ἐκδήμιοις Βαβρ. 59. 15.

συνεξᾰμιλλάομαι, ἀποθετ., ἁμιλλῶμαι, ἀγωνίζομαι, ἔρχομαι εἰς ἀγῶνα πρός τινα, Πλούτ. 2. 137C (διάφ. γραφ. **συναμ-**).

συνεξᾰνᾰλίσκομαι, Παθ., καταναλίσκομαι, καταδαπανῶμαι ὁμοῦ μετά τινος, τινι Διον. Ἁλ. 4. 23.

συνεξαναπληρόω, ἀναπληρῶ μετά τινος ἢ ὁμοῦ, Ἱππ. 915H.

συνεξανάστασις, ἡ, τὸ συνεξανίστασθαι, Νικ. Παφλ. ἐν Mi. Pa. gr. τ. 105, σ. 293.

συνεξανθέω, ἀνθῶ ἢ ἀναθάλλω ὁμοῦ, Πλούτ. 2. 434B.

συνεξανίεμαι, Παθ., χαλαροῦμαι ὁμοῦ, Σωραν. περὶ Γυναικ. Παθ. 19B.

συνεξανίστημι, ἐξανίστημι, διεγείρω ἢ ἐξεγείρω ὁμοῦ, Πλούτ. 2. 44C. **II**. Παθ., μετ' ἀορ. β' καὶ πρκμ. ἐνεργ., ἐγείρομαι συγχρόνως, ἐγείρομαι καὶ προσέρχομαι μετά τινος, διάφ. γραφ. παρὰ Ξεν. Κύρ. 8. 4, 27, Πλουτ. Ἀγησ. 12, κτλ.· ἅμα τινὶ ὁ αὐτ. ἐν Πύρρῳ 11· σ. τοῖς καιροῖς Πολύβ. 16. 9, 4. **2)** ἐγείρομαι ἐν ἀποστασίᾳ, ἀποστατῶ, ἐπαναστατῶ ὁμοῦ μετά τινος, ὁ αὐτ. 5. 39, 4, κτλ.· τινι Δίων Κ. 71. 28· πρός τι Πλουτ. Κάτων Νεώτ. 59, κλπ.

συνεξανοίγω, ἀνοίγω ὁμοῦ, τινὶ Λεόντ. ἐν τῇ Φωτ. Βιβλ. 506. 1.

συνεξᾰνύω, Ἀττ. **-ανύτω** [ᾰ], ἀνύτω, ἐκτελῶ, φέρω εἰς πέρας ὁμοῦ, Δίων Χρυσ. 1. 395. **II**. καταφθάνω ἢ εἶμαι ἴσος ἐν τῷ δρόμῳ, Πλούτ. 2. 137C, 298A.

συνεξᾰπᾰτάω, ἐξαπατῶ ὁμοῦ ἢ ὁμοίως, εἰ μὴ ξυνηπάτουν αὐτοὶ Δημ. 673. 2. — Παθητ., ξυνηπατημένων ὑμῶν ὁ αὐτ. 202. 14.

συνεξαπολήγω, ἀπολήγω ὁμοῦ, Μ. Ψελλ. ἐν Σάθ. Μεσ. βιβλ. τ. Ε', σ. 126.

συνεξαποστέλλω, ἐξαποστέλλω, ἐκπέμπω ὁμοῦ, τῆς νυκτός, ἐν ᾗ συνεξαποστέλλειν ἔφη τοὺς φίλους Πολύβ. 8. 21, 6· ἕνα τῶν υἱῶν τῷ Κύρῳ συνεξαπέστειλε Διόδ. 14. 20. — Παθ., μέλλ. **-στᾰλήσομαι** ἅμα τινὶ Πολύβ. 23. 15, 11.

συνεξάπτω, ἀνάπτω ὁμοῦ, Πλούτ. 2. 433D, 929B· τὸν ἔρωτα Ἡλιόδ. 7. 9.— Παθ., Μᾶρκ. Ἀντων. 9. 9.

συνεξᾰριθμέω, καταριθμῶ ὁμοῦ, ἐν οἷς ἦν καὶ ὁ Ἐπαμεινώνδας συνεξαριθμούμενος Διόδ. 14. 53, Ἰωσήπ. Ἰουδ. Πόλ. 3. 4, 2.

συνεξαρκέω, μέλλ. **-έσω**, ἐξαρκῶ μετά τινος ἢ ὁμοῦ, τοῦ πλάτους τῆς βάσεως μὴ συνεξαρκοῦντος Στράβ. 648.

συνεξαρνέομαι, ἀποθ., ἐξαρνοῦμαι ὁμοίως, Ἀθαν. τ. 1, σ. 512 (2, σ. 44C, Βενδικτ.).

συνεξάρχω, ἐξάρχω ὁμοῦ, μαινομένῳ δήμῳ συνεξάρχειν Πλάτ. Ἀξ 368D.

συνεξαστράπτω, ἐξαστράπτω ὁμοῦ, ἡ τῶν πραγμάτων λαμπρότης οὐ πάντως ποιεῖ συνεξαστράπτειν καὶ τὰ πράγματα Φωτ. Βιβλ. 195. 27., 469. 11.

συνεξατμίζω, ἐξατμίζω ὁμοῦ, εἰς ἀτμὸν μεταβάλλω ὁμοῦ, τὸ ὑγρὸν Ἀριστ. Μετεωρ. 4. 5. 8. **2)** ἀμεταβ., ἐξατμίζο-

μαι, ὁ αὐτ. π. Ζ. Γεν. 3. 2, 5., 5. 3, 30, π. Ζ. Μορ. 2. 4, 1·— οὕτως ἐν τῷ παθ., Ideler Phys 2. 401.

συνεξᾰτονέω, ἀτονῶ ὁμοῦ, χάνω τὴν ζωηρότητά μου μετ' ἄλλου τινός, τρόπον τινὰ τοῦ προσώπου τῇ ψυχῇ συνεξατονοῦντος Πλούτ. 2. 528Ε.

συνεξᾰφᾰνίζω, ἐξαφανίζω ὁμοῦ, Ἀθαν. ἀσ. τ. 1. 581., 2. 235.

συνεξεγείρομαι, Παθ., ὁμοῦ ἐξεγείρομαι, Πολύβ. 4. 47, 3.

συνέξειμι, (εἶμι, ibo) ἐξέρχομαι μετά τινος ἢ ὁμοῦ, μετά τινος Θουκ. 3. 113· τινὶ Ξεν. Κύρ. 1. 4. 15, κτλ. **II.** παρέρχομαι ὁμοῦ, νόσος σ. τῷ κάλλει τῆς ὥρας Ἀρετ. π. Αἰτ. Χρον. Παθ. 1. 4.

συνεξεῖπον, ἀόρ. τοῦ **συνεξαγορεύω**, Βυζ.

συνεξελαύνω, μέλλ. **-ελάσω**, ἐξελαύνω, ἐκδιώκω μετά τινος ἢ ὁμοῦ, ἀθλίῳ πατρὶ συνεξελαύνει Αἰσχύλ. Ἀγ. 1606· βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς Ἀνθ. Π. 9 715.

συνεξελέειν, Ἰων. ἀορ. β' ἀπαρ. τοῦ **συνεξαιρέω**.

συνεξελεύθερος, ὁ, ὁ ὁμοῦ ἀπελευθερωθείς, ὁ καὶ αὐτὸς ἀπελεύθερος ὤν, Συλλ. Ἐπιγραφ. 418· οἱ συνεξελεύθεροι αὐτοῦ Δίων Κ. 60. 15.

συνεξελίττομαι, Παθ., ἐξελίσσομαι, ἐκτυλίσσομαι ὁμοῦ, «ὁ χαλκὸς καὶ πρὸς τὴν τῆς τριχὸς μίμησιν μεθηρμόζετο, ὅτε μὲν βοστρύχων οὔλων πλοκαῖς συνεξελιττόμενος» κτλ., Καλλίστρ. 904.

συνεξέλκομαι, Παθητ., ἐξέλκομαι, ἐκμηκύνομαι ὁμοῦ, συνεξειλκυσμένα τισὶ παραγωγαῖς Ἀπολλ. π. Ἀντωνυμ. 377Β.

συνεξεμέω, ἐξεμῶ ὁμοῦ, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 5. 15, 10.— Παθ., Ideler Phys. 2. 397.

συνεξεργάζομαι, ἀποθετ., καταστρέφω ὁμοῦ, συγκαταστρέφω, Ἀριστείδ. 1. 412.

συνεξερεύθομαι, Παθητ., ὁμοῦ φλογίζομαι, Ἱππ. Προγν. 45. ἀόρ. εὐκτ. -ερευθείην ὁ αὐτ. ἐν Κωακ. Προγν. 175.

συνεξερευνάω, μέλλ. **-ήσομαι**, ἐξετάζω ἐντελῶς ὁμοῦ μετά τινος, τινί τι Ἐκκλ.· ἐν τῷ μέσ. ἀορ., Πλάτ. Θεαίτ. 155Ε.

συνεξερύω, ἐξέλκω, σύρω ἔξω ὁμοῦ, Ἀνθ. Π 6. 57.

συνεξέρχομαι, ἐξέρχομαι ὁμοῦ μετά τινος, τινι Ἡρόδ. 5. 74, Εὐρ. Ἐκ. 1012, Θουκ. 8. 61, κτλ.· ἰδίως, ἐπιτίθεμαι, Ξεν. Ἑλλ. 3. 4, 2. **2)** ἐπὶ πραγμάτων, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 7. 10, 2, π. Ζ. Γεν. 5. 3, 23, κτλ. **3)** καταλήγω ἢ ἀπολήγω, ἀποβαίνω ὁμοῦ μετά τινος, τινι Σέξτ. Ἐμπ. π. Μ. 7. 421.

συνεξετάζω, ἐξετάζω, ἐρευνῶ ὁμοῦ μετά τινος, Πλάτ. Νόμ. 900D — Παθ., οἱ συνεξεταζόμενοι μετά τινος ἢ τινι, οἱ τῆς αὐτῆς μερίδος, οἱ ὀπαδοὶ αὐτοῦ, Δημ. 556. 16, 576. 12, πρβλ. Λουκ. Εἰκόν. 15· — ὡσαύτως, συνεξετάζομαί τινι, ἐξετάζομαι ὁμοῦ μετά τινος, μετροῦμαι πρός τινα, ἁμιλλῶμαι πρός τινα, Ἀντιφῶν 3. 54.

συνεξέτᾰσις, **εως**, ἡ, ἡ ἐκ παραλλήλου διὰ συγκρίσεως ἐξέτασις, Γρηγ. Νύσσ. τ. 1, σ. 427C, κλπ.

συνεξεταστής, ὁ, ὁ συνεξετάζων, Πρόκλ. εἰς Πλάτ. Παρμ. σ. 529, ἔκδ. Stallb.

συνεξευπορέω, ἢ **-ίζω**, πλημμ. γραφ. ἀντὶ τοῦ **συνεκπορίζω** παρὰ Ξεν.· πρβλ. Λοβέκ. εἰς Φρύν. 525 κέξ., Schäf. Mel. σ. 6· ἀόρ **-ῆσαι** Πρόκλ. παρὰ Mai Auct. Class. i. xiv.

συνεξευρίσκω, ὁμοῦ ἐξευρίσκω, τινὶ Ἀριστοφάν. Θεσμ. 601· πάντα Ἰσοκρ. 50Β· τινί τι, ἀπὸ κοινοῦ μετά τινος εὑρίσκω, Διον. Ἁλ. 3. 70· σ. ὅπως σωθήσεσθε Εὐρ. Ἡρακλ. 420.

συνεξεύχομαι, ἀποθ., μεγάλως καυχῶμαι ὁμοῦ, Φιλόδημ. π. Ὀργ. σ 60.

συνεξηγέομαι, ἀποθ., ἐξηγοῦμαι, ἑρμηνεύω ὁμοῦ, συνεξηγούμενον γὰρ ἔχει τὸ γένος ἡ δεῖξις Ἀπολλών. περὶ Ἀντωνυμ. 273Α, 306Β

συνεξημερόομαι, Παθ., ὁμοῦ ἐξημερώνομαι, ἐκπολιτίζομαι, τρέπων ἐπὶ γεωργίαν τὸν δῆμον ἅμα τῇ γεωργίᾳ συνεξημερούμενον Πλουτ. Νουμ. 16.

συνεξηχέω, ἠχῶ ὁμοῦ, συμψάλλω, ὡς ἑνὸς μετὰ ῥυθμοῦ κοσμίως ἐπιψάλλοντος οἱ λοιποὶ καθ' ἡσυχίαν ἀκροώμενοι τῶν ὕμνων τὰ ἀκροτελεύτια συνεξηχοῦσιν Εὐσ. Ἐκκλ. Ἱστ. 2. 17.

συνεξιάομαι, ἀποθετ., θεραπεύω ὁμοῦ, ἅπαντα ταῦτα τὰς διαθέσεις ἰώμενα συνεξιᾶται τὰς ὀδύνας αὐτῶν Γαλην. τ. 10, σ. 276.

συνεξιδρόω, ἐξιδρόω ὁμοῦ, διὰ τί τὰ πολλὰ τῶν μύρων συνεξιδρῶσαι δυσώδη; ἐκπέμπουσι κακὴν ὀσμὴν μετὰ ἱδρῶτος; Ἀριστ. Προβλ. 13. 11.

συνεξικμάζω, συνεκβάλλω ἐν εἴδει ἰκμάδος, διὰ τὴν ἀκαθαρσίαν τοῦ σώματος ἡ κίνησις .. συνεξικμάζει τὰ περιττώματα μετὰ τοῦ ἱδρῶτος Ἀριστ. Προβλ. 5. 27· πρβλ. Θεοφρ. π. Ἱδρώτ. 13.

συνεξιππάζομαι, Παθ., συναπέρχομαι ἐφ' ἵππου, Μέμνων ἐν Φωτ. Βιβλιοθ. σ. 231 (Orell. 34).

συνέξις, **εως**, ἡ, ἕνωσις, τῇ συνέξει τοῦ θεορρύτου λόγου Γεώργ. Πισίδ. ἐν Ἑξαημ. 185.

συνεξισάζω, = τῷ ἑπομ., οὐκ αἰδεῖσθε τὰ δοῦλα συνεξισάζοντες τῇ εὐγενείᾳ τῆς Τριάδος;

συνεξισόω, ἐξισόω, ποιῶ τι ἴσον πρός τι, τινί τι Διον. Ἁλ. πρ. Πομπ. 5. — Παθ., εἶμαι ἢ γίνομαι ἐντελῶς ἴσος, ὁ αὐτ. 10. 16, Συλλ. Ἐπιγρ. (προσθῆκαι) 2167d. 7.

συνεξίσταμαι, Παθητ., συνεξανίσταμαι, εὐθύμως δὲ τῶν ὄχλων αὐτῷ συνεξισταμένων Πολύβ. 3. 34, 9, πρβλ. 5. 39, 4.

συνεξιχνεύω, ἐξιχνεύω ὁμοῦ μετά τινος, πολλοὺς ἔχων ἔξωθεν ἐπισκοποῦντας τὰ πραττόμενα καὶ συνεξιχνεύοντας αὐτῷ Πλουτ. Κικ. 18.

συνεξογκόω, ἐξογκώνω ὁμοῦ, τυμπάνου δίκην συνεξογκοῦντος..Ἰω. Ἀκτουάρ. ἐν Ideler Phys. 2. 407.

συνεξοδεύω, ἐξέρχομαι ὁμοῦ μετά τινος, σκάζων συνεξώδευε τῷ βασιλεῖ Σάτυρ. παρ' Ἀθην. 248F. **II.** συνοδεύω πομπὴν (ἐξοδείαν), Μάρμαρον Ροζέττης ἐν τῇ Συλλ. Ἐπιγραφ. 4697. 43.

συνεξόζω, ὄζω ἔκ τινος πράγματος προσέτι, Θεοφρ. π. Ὀσμ. 62.

συνεξοικίζω, ἐξοικίζω ὁμοῦ, ὅπως τέ μοι συνεξῴκισται (ὁ αὐτάδελφος) εἰς Τριβαλοὺς Ἰω. Καντακουζ. Γ', 53, σ. 319, 1, ἔκδ. Β.

συνεξοκέλλω, ἀμεταβ., ἐξοκέλλω ὁμοῦ, μεταφ., πορρωτέρω τοῦ πιθανοῦ συνεξοκείλας εἰς τὸν Ὀδυσσέα Πλούτ. 2. 985C.

συνεξολισθάνω, ἐξολισθαίνω ὁμοῦ μετά τινος, Μανέθων 5. 43, ἐν τῷ ἀόρ. **-ώλισθεν**.

συνεξόλλῡμι, συνεξαφανίζω, συγκαταστρέφω, ἀσέβεια δὲ πᾶσα ἀνθρώπου συνεξόλλυται Γρηγ. Ναζ. τ. 1, σ. 761Α.

συνεξομοιόω, ποιῶ τι ἐντελῶς ὅμοιον πρός τι, τί τινι Πλούτ. 2. 1054Β· τὰ ἤθη αὐτόθι 97Α· τι πρός τι, μικρὰ ζύμη .. ὅλον τὸ φύραμα πρὸς ἑαυτὴν συνεξομοιοῖ Γρηγ. Νύσσ. τ. 3, σ. 102C. — Παθητ., ἐξομοιοῦμαι, γίνομαι ὅλως ὅμοιος, καὶ γὰρ ταῦτα τριγονήσαντα συνεξομοιοῦται Θεοφρ. π. Φυτ. Αἰτ. 1. 9, 3, κτλ.· συνεξομοιοῦσθαι τῷ περιέχοντι, συνεγκλιματίζεσθαι, Πολύβ. 4. 21, 1.

συνεξομοίωσις, ἡ, ἐντελὴς ἐξομοίωσις, πλήρης ἀφομοίωσις, πρός τι Εὐστ. 1541. 39, κτλ.

συνεξοπλίζομαι, Παθ., ἐξοπλίζομαι ὁμοῦ, ἑτοιμάζομαι ὁμοῦ ἢ συγχρόνως εἰς πόλεμον, Βυζ.

συνεξορθιάζω, ἐξορθριάζω ὁμοῦ, συνδιεγείρω, «σκόπει δὲ καὶ τὴν ἐν τῇ τραγῳδίᾳ Μερόπην ... ὅσον ἐν τῷ θεάτρῳ κίνημα ποιεῖ συνεξορθιάζουσα φόβῳ» Πλούτ. 2. 998Ε.

συνεξορίζω, ὁμοῦ ἐξορίζω,, Σχόλ. εἰς Εὐρ. Φοιν. 1673.

συνεξορμάω, συμπαρορμῶ, συμπροτρέπω, ὅμως αὐτοὺς συνεξώρμησαν καὶ συνέπεμψαν Ἰσοκρ. 216C· τινα πρός τι Πλουτ. 2. 685Ε· ὁ ἥλιος καὶ παύει καὶ συνεξορμᾷ τὰ πνεύματα, βοηθεῖ, συντελεῖ καὶ εἰς παῦσιν καὶ εἰς ἐξέγερσιν τῶν ἀνέμων, Ἀριστ. Μετεωρ. 2. 5, 1. **II.** ἀμεταβ., ἐξορμῶ, ἐξέρχομαι, ποιῶ ἔξοδον ὁμοῦ, Ξεν. Κύρ. 1. 4, 20., 7. 1, 29· ὕλη συνεξορμᾷ τῷ σίτῳ, ἐκβλαστάνει, φύεται ὁμοῦ μετὰ τοῦ σίτου, ὁ αὐτ. ἐν Οἰκ. 17, 12 καὶ 14· — οὕτως ἐν τῷ παθητ., Δίων. Κ. 41. 9.

συνεξορούω, συνεξορμῶ τινι, συνεξορούσας τῷ κύματι Κλέαρχ. παρ' Ἀθην. 332D.

συνεξορύσσω, Ἀττ. **-ττω**, ἐξορύσσω ὁμοῦ, Βυζ.

συνεξορύττω, ἴδε **συνεξορύσσω**.

συνεξορχέομαι, ἀποθ., θεατρίζω, χλευάζω ὁμοῦ, Συνέσ. 69Α, Θεόδωρ. Μετοχ. 334. 5, Φώτ. ἐν Wolf's Anal. 2. 153.

συνεξοστρᾰκίζω, ἐξοστρακίζω ὁμοῦ, συνεξορίζω, Βυζ.

συνεξουδενέω ἢ **-ουθενέω**, ὁμοῦ ἐξουθενῶ, χλευάζω, ἐμπαίζω, εἰς οὐδὲν λογίζομαι, Al at. Graec. Orthod. τ. 2, σ. 79Α.

συνεξουθενέω, ἴδε **συνεξουδενέω**.

συνεξουρέω, συνεκβάλλω μετὰ τῶν οὔρων, Ἱππ. Ἀφ. 1252, ἐν τῷ παθ.

συνεξυβρίζω, ὁμοῦ ἐξυβρίζω, Φωτ. ἐν Wolf's Anal 2. 95, 207

συνεξυγραίνω, ὑγραίνω μετά τινος ἢ ὁμοῦ, ἐν τῷ παθητ., ὁ χαλκὸς ὑπὸ τοῦ πεπυρωμένου χαλκοῦ ἀνατήκεται καὶ ῥεῖ συνεξυγραινόμενος, γινόμενος ὁμοῦ ὑγρός, Πλουτ. 2. 752D.

συνεξυμνέω, ἐξυμνῶ ὁμοῦ, συνεξυμνῶν τὸν θεὸν τὸν μηκύνοντα τὴν εὐπραγίαν Θεμίστ. 102Β.

συνεξυπάγομαι, μέσ., ὑπάγομαι ὁμοῦ, ὁδηγῶ ὁμοῦ μετ' ἐμουτοῦ, συνεξυπήγετο καὶ τὴν βασιλίδα Ἄννα Κομν. σ 354Α.

συνεξυπηρετέω, ἐξυπηρετῶ ὁμοῦ, Ἰω. Σκυλ. ἐν Γ. Κεδρ. τ. Β', σ. 706. 7, ἔκδ. Β. Μ. Ἀτταλ. σ. 181. 3, ἔκδ Β.

συνεξυφαίνω, ἐξυφαίνω ἢ συντίθημι ὁμοῦ, σ. μέλος Βρυεν. Ἁρμον. σ. 362Β· ἐκ τῶν λόγων τοῦ θεολόγου συνεξυφανῶ σοι ῥήματα Μελέτ. ἐν Κραμ. Ἀν. τ. 3, σ. 140. 23.

συνεξωθέω, ἐξωθῶ ὁμοῦ, συνεκβάλλω, ἱδρῶτα Ἱππ. 364, ἐν τέλ.· τινί τι Πλούτ. 2. 819F· [τὸν Ἀρίονα] ἐπὶ τὴν γῆν αὐτόθι 984F· τινὰ ἐκ τοῦ ζῆν αὐτόθι 1110Ε· τὴν συνοδίαν εἰς τὰς φάραγγας Στράβ. 204.

συνεξωραΐζω, ἐξωραΐζω ὁμοῦ, καλλύνω ὁμοῦ, «χρυσήνιον δὲ

τὸν "Αρην λέγει συνεξωραΐζων αὐτὸν οὕτω τῇ χρυσῇ Ἀφροδίτῃ» Εὐστ. 1598. 49.

συνέορσις, ἡ, ἀμφ. γραφ. παρὰ Πλουτ. 2. 449Α· ἡ ἔννοια ἀπαιτεῖ **συνέπαρσις** ἢ ὁμοίαν τινὰ λέξιν.

συνεορτάζω, ἑορτάζω ὁμοῦ, Διόδ. 4. 4, Συλλ. Ἐπιγρ. 2820. 19 τινί, μετά τινος, Πλούτ. 2. 666D, κτλ.· σ. γάμους τινὶ Δίων Κ. 59. 8.

συνεορταστέον, ῥηματ. ἐπίθ. τοῦ **συνεορτάζω**, δεῖ συνεορτάζειν, Ματθ. Βλαστ. ἐν Συντ. καν. τ. 6. σ. 407.

συνεορταστής, οῦ, ὁ, ὁ συνεορτάζων, ὁ ἀπὸ κοινοῦ μετά τινος ἑορτάζων, Πλάτ. Νόμ. 653D

συνεοχμός, ὁ, ποιητικ. ἀντὶ **συνοχμός**, = **συνοχή**, συναφή, σύνδεσις, ἄρθρωσις, κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ Ἰλ. Ξ. 465, ἔνθα ἴδε Spitzner.· πρβλ. **ὄχμα**.

συνεπαγάλλομαι, ἐπαγάλλομαι ὁμοῦ, Προκόπ Διάκον. ἐν Mi. Pa. gr. τ. 100 σ. 1188, Μ. Ἀκομ. τ. Β', σ. 133, 30, ἔκδ. Λ.

συνεπάγω, μέλλ. -ξω, εἰσάγω, ὁδηγῶ ὁμοῦ ἐναντίον, **ἐπί τινας**, τὰ κράτιστα ἐπὶ τοὺς ὑποδεεστέρους πρώτους συνεπῆγον Θουκ. 3. 11. **2**) ἀπὸ κοινοῦ ἐπάγω ἐναντίον τινός, λέγεται δὲ ἐπὶ τῶν καλούντων ξένην δύναμιν ὅπως βοηθήσῃ αὐτούς, ὁ αὐτ. 4. 1. 79, 84 οὕτως ἐν τῷ μέσῳ τύπῳ, Πλουτ. Κάτων Πρεσβ 17, Δίων Κ. 41. 7.

συνεπαγωνίζομαι, ἀποθ., ἐπαγωνίζομαι ὁμοῦ, συνεπιφέρω νέον ἀγῶνα, τοῖς γεγονόσι, ἐκτὸς τῶν ἤδη γενομένων, Πολύβ. 3. 118, 6.

συνεπᾴδω, ποιητ. **-αείδω**, συνεξυμνῶ, συνεπαείδετ' Ἄρτεμιν Εὐρ. Ι. Α. 1492. **II**. ᾄδω ἐπῳδὰς ἢ μαγικὰς ἐπικλήσεις συγχρόνως, ἐπῳδὰς συνεπᾴδειν Θεοφρ. περὶ Φυτ. Ἱστ. 9. 10, 4.

συνεπαινέω, μέλλ. -έσω, Ἐπικ. -ήσω — συνεπιδοκιμάζω, συναινῶ, συγκατανεύω, ξ. πόλις καὶ τὸ δίκαιον Αἰσχύλ. Θήβ. 1073, πρβλ. Ξεν. Κύρ. 4. 3, 23, Δημ. 288. 6· — μετ' ἀπαρ., σ. μάχεσθαι, καὶ ἐγὼ προτείνω ἢ συμβουλεύω νὰ γίνῃ ἡ μάχη, Θουκ. 4. 91, πρβλ. Ξεν Κύρ. 5. 3, 34 — σ. τι, ἐπιδοκιμάζω, συναινῶ ἢ συμφωνῶ εἴς τι, ὁ αὐτ. ἐν Ἀν. 7. 3, 36, Πλάτ. Ἱππ. Ἐλάττ. ἐν τῇ ἀρχ.· σ. τινι ὅ,τι πράττῃ, συμφωνῶ μετά τινος εἰς πᾶν ὅ,τι πράττει, Δημ. 1438, 9. **II**. ἀπὸ κοινοῦ ἐπαινῶ, τινα Ξεν. Ἱππαρχ. 5. 14, Πλάτ. Μενέξ. 246Α· — Παθητ., Ἀριστ. Ῥητ. 3 14, 11.

συνέπαινος, ον, ὁ συνεπαινῶν, ἀποδεχόμενος, ἐπιδοκιμάζων τι, συν. εἶναι, συνεπαινεῖν, συνεπιδοκιμάζειν, τινι Ἡρόδ. 3. 119· ἀπολ., 5. 20, 31· μετ' αἰτ. καὶ ἀπαρ., 7 15.

συνεπαίρω, αἴρω. ὑψώνω ὁμοῦ ἢ συγχρόνως, ἑαυτὸν Ξενοφ. Ἱππ. 7. 2· τὰ πρόσθια σκέλη Ἀριστ. π. τὰ Ζ. Ἱστ. 6. 22, 15· ἦχον σάλπιγγι σ. Γρηγ. Νύσσ.— Παθ., ἐξυψοῦμαι ὁμοῦ, ἡ λέξις τῷ μεγέθει σ. Λουκ. Πῶς δεῖ Ἱστ. Συγγρ. 45. **II**. παρακινῶ, προτρέπω, παρορμῶ ὁμοῦ ἢ ὡσαύτως, μετ' ἀπαρ., Ξεν. Συμπ. 8. 24, πρβλ. Οἰκ. 5. 5. — Παθητ., ἐγείρομαι, ἐξεγείρομαι ὁμοῦ μετά τινος, συνεπανίσταμαι, τινι, ἐπὶ ἐπαναστατῶν, Πλουτ. Κοριολ. 12, πρβλ. Ἰωσήπ. Ἰουδ. Πολ. Προοίμ. 2.

συνεπαισθάνομαι, ἀποθετ., ὁμοῦ αἰσθάνομαι, καὶ αἱ δυνάμεις αἱ οὐράνιοι καὶ τῶν τοιούτων συνεπαισθάνονται, μνημονεύεται ἐκ τοῦ Γρηγ. τοῦ Ναζ.

συνεπαιτιάομαι, ἀποθετ., ἐπαιτιῶμαι ὁμοῦ, κατηγορῶ ὡσαύτως τινά, Μηδισμοῦ ξ. καὶ τὸν Θεμιστοκλέα Θουκ. 1. 135· Λακωνισμοῦ σ. τινα Πλουτ. Περικλ. 10· ἀπολ., ὁ αὐτ. ἐν Θεμιστ. 23.

συνεπαιωρέομαι, Παθ., ἐπαιωροῦμαι ὁμοῦ, ἐξακολουθῶ αἰωρούμενος ὑπεράνω τινός, ἀετὸν ὑπὲρ κεφαλῆς Ἀλεξάνδρου συνεπαιωρούμενον Πλουτ. Ἀλέξ. 33.

συνεπᾰκολουθέω, ἐπακολουθῶ ὁμοῦ, ἀκολουθῶ ἐκ τοῦ πλησίον, συνοδεύω, Πλάτ. Φαίδων 81Ε· τινι Καλλικρ. παρὰ Στοβ. 426. 15, Στράβ. 380· ἐπὶ πραγμάτων, Ἱππ. 274. 40, Πλούτ., κλπ.

συνεπακτήρ, ῆρος, ὁ, συγκυνηγός, «καλέσασα τὸν συνεπακτῆρα ἐρωτᾷ» Εὐστ. Ὀδ. 1688. 24.

συνεπᾰλᾰλάζω, ἀλαλάζω ὁμοῦ, ὁμοῦ φωνάζω τὴν πολεμικὴν κραυγήν, οἱ δὲ ζηλωταὶ τοῖς Ἰδουμαίοις συνεπηλάλαζον Ἰωσήπ. Ἰουδ. Πόλ. 4. 5, 1.

συνεπᾰλείφω, ἀπὸ κοινοῦ ἐπαλείφω, παρακινῶ, «συνεπαλείφουσαν αὐτοὺς πρὸς τόδε δυάδ' ἀδελφῶν» Ἐφραὶμ Χρον. 5781.

συνεπᾰμύνω [ῡ], ἀπὸ κοινοῦ ἐπαμύνω, ἀπωθῶ, τινὰ Θουκ. 6. 56. **II**. ἀπὸ κοινοῦ βοηθῶ, συμβοηθῶ, τινι Ἀππ. Ἐμφυλ. 3. 32.

συνεπανατίθεσθαι, Παθ., Ἰωσ. Ὑμνογρ. ἐν Mi. Pa. gr. τ. 105, σ. 1013, Συναγ. Λέξ. Ἀθησ. Κουμαν.

συνεπάνειμι, ἴδε **συνεπανέρχομαι**.

συνεπανέρχομαι, ἀποθ., ἐπανέρχομαι μετά τινος, τινι Συνέσ. 21Β· — οὕτω **συνεπάνειμι**, ἐπανιόντι τῷ βασιλεῖ συνεπανήει καὶ ὁ τοῦ τελευτήσαντος κόντου Κεφαλληνίας υἱὸς Νικηφ. Γρηγ. Βυζ. Ἱστ. 11. 9, σ. 342Α.

συνεπανθέω, ἐπανθῶ ὁμοῦ, Βυζ.

συνεπανίστημι, συνεπεγείρω, κάμνω τινὰ νὰ ἐγερθῇ ἐναντίον ἄλλου ὁμοῦ, ἐξεγείρω, Θεοδοτ. ἐν Παλ. Διαθ. (Ναοὺμ Α', 11).

II. Παθ. μετ' ἀορ. β' ἐνεργ., ἀπὸ κοινοῦ μετά τινος ἐπαναστατῶ, συνεπαναστάντες .. ἅμα Πεισιστράτῳ ἔσχον τὴν ἀκρόπολιν Ἡρόδ. 3. 84, Θουκ. 1. 132· τινι, μετά τινος, Ἡρόδ. 3. 61· ἅμα τινὶ ὁ αὐτ. 1. 59· τινι μετά τινος, ἐναντίον τινὸς μετά τινος ἄλλου, συνεπαναστάντες τοὺς μὲν ἐξηλάσαμεν Διον. Ἀλ. 6. 74.—Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 30.

συνεπανορθόω, ἀόρ. **συνεπηνώρθωσα** (ἴδε **ἀνορθόω**) Δημ. 140. 14· — ἀπὸ κοινοῦ μετά τινος ἄλλου ἐπανορθώνω, διορθώνω, Δημ. ἔνθ' ἀνωτ., Πολύβ. 30. 18, 4.

συνεπάπτομαι, Ἰων. ἀντὶ **συνεφάπτομαι**.

συνεπᾰρήγω, βοηθῶ ὁμοῦ, δοκοῦσιν οὗτοι συνεπαρήγειν τι τοῖς τοξεύμασι Εὐστ. 40. 25, Ἄννα Κομν. σ. 91Β.

συνέπαρσις, εως, ἡ, ἀπὸ κοινοῦ ἔπαρσις, ἀνύψωσις, Θεόδ. Στουδ. σ. 453· πρβλ. **συνέορσις**.

συνεπαρῶμαι, ἐπαρῶμαι ὁμοῦ, Εὐστ. εἰς Ὀδ. σ. 1750, 42.

συνεπασκέω, ἀπὸ κοινοῦ ἐπασκῶ, ἐξασκῶ, Ἀριστείδ. 1. 451.

συνεπαυγάζω, ἐπαυγάζω, φωτίζω ὁμοῦ, ᾧ συνεπαυγάσασα τῷ πρόσθεν βίῳ κτλ. Θεόδ. Πρόδ. ἐν Notitt. Mss. τ. 8, μέρ. 2, σελ. 207.

συνεπαυλέω, ἐπαυλῶ ὁμοῦ, Μιχ. Ἀκομ. τ. Α', σελ. 46, 11, ἔκδ. Λ.

συνεπαύξω, βοηθῶ εἰς αὔξησιν, ἐπαυξάνω ὁμοῦ, Συλλ. Ἐπιγρ. 2347e. 58 (Προσθῆκαι), 3045. 23., 3050. 10, Δίων Κ. 39. 25.

συνεπαυξάνω, = τῷ προηγ., τὸ τῆς ψυχῆς μέγεθος τὸ σῶμα συνεπηύξανεν Νικηφ. Χοῦμν. ἐν Boiss. Ἀνεκδ. τ. 2, σ. 35, 7.

συνεπαφίημι, ἐπαφίημι, ἐπιρρίπτω ὁμοῦ, συνεπαφιέντες καὶ τὰ ἀγγεῖα Ἰωσήπ. Ἰουδ. Πόλ. 3. 7, 28.

συνεπεγείρω, ἐπεγείρω ἀπὸ κοινοῦ ἐναντίον τινός, τοὺς λοιποὺς συνεπήγειρας Βασίλ. τ. 3, σ. 228Α· συνεπηγείροντο δ' ἄηται Χρησμ. Σιβ. 1, 220, Νικήτ., κλπ.

συνέπεια, ἡ, (ἔπος) συναφή, συνειρμὸς λέξεων ἢ στίχων Διον. Ἀλ. π. Συνθ. 23 (ἕτεροι **συνέχεια**), Ἀπολλ. περὶ Συντάξ. 41· «τί ἐστι συνέπεια; ἡ σύμφρασις καὶ συνακολούθησις τοῦ λόγου» Σχόλ. εἰς Διονύσ. ἐν Viloison Ἀνεκδ. τ. 2, σ. 112, 13, κλπ.

συνεπείγω. ἀπὸ κοινοῦ ἐπείγω, προτρέπω, παρορμῶ εἴς τι, ἐπὶ τὸ κάλλιον Ἱππ. Ἐπιδημ. τὸ α' 946· ἐς τὸν κίνδυνον Ἀρετ. Ὀξ. Νούσ. Θεραπευτ. 1. 4· ἀπολ., αὐτόθι 10, κτλ.· καὶ ἀμεταβ., σπεύδω πρός τι, αὐτόθι 2. 2. — Παθητ., ἐπὶ τῆς αὐτῆς σημασίας, αὐτόθι 1. 10. **II**. συνεπείγεσθαί τινι, συναύξεσθαι μετά τινος, Αἰλ. περὶ Ζ. 14. 23.

συνέπειμι, (εἶμι, ibo) ἀπὸ κοινοῦ μετά τινος ἐπέρχομαι, ἐπιτίθεμαι, μετά τινος ξ. τινὶ Θουκ. 3. 63.

συνέπειξις, εως, ἡ, μεγάλη σπουδή, ὑπὸ τῆς ὁδοιπορικῆς ἀκαταστασίας καὶ συνεπείξεως Νικομάχ. Ἁρμον. σ. 2.

συνεπείσειμι, (εἶμι, ibo) ἐπείσειμι. ἐπεισέρχομαι ὁμοῦ εἴς τι, συνεπεισιόντες τὴν σκηνὴν ἐπεφέροντο τοῖς ἐναντίοις Πολύβ. παρ' Ἀθην. 615D.

συνεπεισκυκλέω, εἰσάγω προσέτι, Φωτ. Βιβλ. 145. 41.

συνεπεισπίπτω, ἐφορμῶ, ἐπιπίπτω ὁμοῦ, εἰς πόλιν ἅμα τινὶ Πλουτ. Φάβ. 17, πρβλ. Κοριολ. 8.

συνεπεισρέω, εἰσρέω ἐπί τινος ὁμοῦ, Ἑρμ. Τρισμ. 9, σ. 24.

συνεπεισφέρομαι, Μέσ., συνεισάγω, συντελῶ ὅπως εἰσέλθῃ τις εἴς τι, συνεπεισφέρεσθαι τὸν βάρβαρον τῇ Ἑλλάδι Ξεν. Ἑλλ. 5. 5, 43· διάφορ. γρ. **ἐπεισφέρεσθαι**.

συνεπεκπίνω, ἐκπίνω ὁμοῦ, ἅμα τινὶ Ἀνθ. Π. 6. 292.

συνεπεκτείνω, ἐκτείνω, ἐπεκτείνω ὁμοῦ μετά τινος, καί μοι συνεπεκτείνουσα τῶν ἀφροδισίων τὴν τέρψιν Ἀρισταίν. 2. 15·— Παθ., Ἀριστ Φυσ. 4. 9, 3· ἐξαπλοῦμαι, συνεπεκτείνεται παντὶ τῷ κατ' ἐπιγάστριον χωρίῳ Γαλην. τ. 4, σ. 119.

συνεπελαφρίζω, = τῷ ἑπομ., ἐν ταῖς νόσοις συμπάσχει καὶ ἐν ταῖς ἰάσεσι συνεπελαφρίζει Matthaei Med σ. 204Α.

συνεπελαφρύνω, συνεργῶ, βοηθῶ εἰς ἐλάφρυνσιν, Μιλησίοισι οὐδαμοὶ Ἰώνων τὸν πόλεμον τοῦτον συνεπελάφρυνον ὅτι μὴ Χῖοι μοῦνοι Ἡρόδ. 1. 18. [ῡ].

συνεπεμβαίνω, ἐπεμβαίνω ὁμοῦ, συνεπωφελοῦμαι, συν. τοῖς καιροῖς, ταῖς ἀτυχίαις, ἐπιλαμβάνομαι τῶν εὐκαιριῶν, συναρπάζω, κτλ., Πολύβ. 20. 11, 7., 30. 9, 21. **II**. σ. τινί, ἀπὸ κοινοῦ μετά τινος καταπατῶ ἕτερον, Ἀριστείδ. 1. 471.

συνεπεξάγω, ἐπεξάγω, ὁδηγῶ ἐναντίον τινὸς ὁμοῦ, ἐν Mai Coll. Vat. 2. 604.

συνεπεξεργάζομαι, ἀποθετ., ἀπὸ κοινοῦ ἐπεξεργάζομαι, συγκατορθώνω, συνεκτελῶ, Ἀριστείδ. 2. 175.

συνεπερείδω. ἐπιφέρω μεθ' ὁρμῆς ὁμοῦ, μετ' αἰτ. πράγματ., Πλούτ. 2. 939Β· καταφέρω ὁμοῦ, πληγὴν ὁ αὐτ. ἐν Βρούτ. 52· τὴν ὑπόνοιαν ἅμα τῷ λόγῳ συνεπερείσαντος, συνυποστηρίξαντος, ὁ αὐτ. ἐν Καίσ. 8, πρβλ. τὸν αὐτ. ἐν Κικ. 21. **II**. μετ' αἰτ. προσ., διαπερῶ, διατρυπῶ, περιτρέπει τὸν ἄνδρα συνεπερείσας ὁ αὐτ. ἐν Φιλοποίμ. 10· συνεπερείσας τῇ ῥύμῃ

τοῦ ἵππου, προσβαλὼν αὐτόν, ἐπιτεθεὶς κατ' αὐτοῦ μεθ' ὅλης τῆς ὁρμῆς του, ὁ αὐτ. ἐν Μαρκέλλ. 7.

συνεπερίζω, συναμιλλῶμαι, συνδιαφιλονεικῶ, τινι 'Ανθολ. Π. 9. 709.

συνεπέρχομαι, ἀποθ., ἐπέρχομαι, ἐπιτίθεμαι ὁμοῦ, κἀμοὶ δὲ μῖξις συνεπῆλθε καὶ μάχη Γ. Πισίδ. 'Αβαρ. Πόλεμ. 413.

συνεπευδοκέω, ὁμοῦ μετά τινος ἐπευδοκῶ, συνευδοκῶ, συναινῶ, συγκατατίθεμαι, συνεπευδοκεῖν τοῖς τελουμένοις Νικήτ. Χρον. 250C, κτλ.

συνεπεσπόμην, 'Ιων. ἀόρ. τοῦ **συνεφέπομαι**.

συνεπευθύνω, ἐπευθύνω, διευθύνω ἢ ὁδηγῶ ὁμοῦ, θεοῦ συμπαρόντος καὶ συνεπευθύνοντος ἀρχὰς μεγάλων πραγμάτων Πλουτ. Ρωμύλ. 7, κτλ.

συνεπευφημέω, ἀπὸ κοινοῦ μετά τινος ἐπευφημῶ, Διόδ. 1. 72., 17. 72.

συνεπεύχομαι, ἀποθετ., ἀπὸ κοινοῦ μετά τινος προσεύχομαι, συνεύχομαι, Θουκ. 6. 32 ἅμα τινὶ Πλούτ. 2. 708C·— μετ' αἰτ. καὶ ἀπαρ., ὑπισχνοῦμαι προσέτι ὅτι .., καυχῶμαι ὅτι.., 'Αριστοφ. Θεσμ. 952· ἀλλὰ μετ' ἀπαρ μέλλ., εὔχομαι, «κάμνω τάξιμον», «τάζω» προσέτι νά ., σ. θῦσαι Ξεν. 'Αν. 3. 2, 9.

συνεπέχω, ὁμοῦ ἐπέχω ἢ ἀναφέρω εἴς τι, συνακολουθῶ, 'Ιάμβλ. ἐν Νικομ. 8C.

συνεπηρεάζω, ὁμοῦ διαβάλλω, συκοφαντῶ, ὑβρίζω, Φωτ. Βιβλ. 481. 31.

συνεπηχέω, ὁμοῦ ἠχῶ, συνοδεύω παιᾶνα μὲ τὸν ἦχον τῆς φωνῆς μου, συμψάλλω, ὁ μὲν ἐξῆρχε παιᾶνα, οἱ δὲ πάντες συνεπήχησαν Ξεν. Κύρ. 3. 3, 58, πρβλ. 7. 1, 25· κορυφαίου κατάρξαντος συνεπηχεῖ πᾶς ὁ χορὸς ἀνδρῶν τε καὶ γυναικῶν 'Αριστ. π. Κόσμ. 6. 20·— μεταφ., ἀποτελῶ συνήχησιν, συμφωνίαν μετά τινος, Πλούτ. 2. 44D, Θεμίστ. 218A. **II**. ἀντηχῶ, ἀντιλαλῶ, οἶκων ὁ κάλλιστος ἐς ὑποδοχὴν λόγων ἀναπεπταμένος..ἠρέμα καὶ αὐτὸς ὥσπερ τὰ ἄντρα συνεπηχῶν Λουκ. π. Οἴκ. 3, πρβλ. Δίωνα Κ. 66. 22, κλπ.

συνεπιβαίνω, ἐπιβαίνω ὁμοῦ. «ὁ σάργος .. τοὺς ἀσθενεστέρους ἑαυτοῦ κωλύει συνεπιβαίνειν» 'Αριστ. π. τὰ Ζ. 'Ιστ. 8. 2, 31· τοῦ τείχους, ἐπὶ τοῦ τείχους, Πλουτ. Τ. Γραχχ. 4· ἀναβαίνω ὁμοῦ κλίμακα, Πολύβ. 10. 13, 8. **II**. ἐπιχειρῶ τι ὁμοῦ μετά τινος, τινί τι 'Αντιφῶν 117. 41.

συνεπιβάλλω, (ἐπιβάλλω II. 3), ἐπασχολῶ τὸ πνεῦμά μου ὡσαύτως, ἐξετάζω ἢ θεωρῶ τι ὁμοῦ, 'Αριστ. 'Αποσπ. 24, Πολύβ. 3. 38, 4, Σέξτ. 'Εμπ. π. Μ. 7. 348., 8. 161· ἑπομένης ἐξηρτημένης προτάσεως, Μᾶρκ. 'Αντων. 3. 11. **II**. συμπίπτω μετά τινος, καιροῖς Πολύβ. 2. 56, 4.—"Ιδε ἐν λ. **συνεπιλαμβάνω**.

συνεπιβλάπτομαι, Παθ., βλάπτομαι ὁμοῦ μετά τινος, τινι 'Αριστ. Πολιτικ. 2. 9, 20.

συνεπιβλέπω, ἐπιβλέπω συγχρόνως ἢ ὁμοῦ συμπαρατηρῶ, 'Αντίπατρ. παρὰ Στοβ. 418. 27, Γαλην. τ. 8, σ. 320.

συνεπιβοάω, ἐπιβοῶ ὁμοῦ ἢ συγχρόνως, συνεπιβοᾶν πείθει Θεοφύλ. Βουλγαρ τ. 3, σ. 678D.

συνεπιβοηθέω, ἐπιβοηθῶ ὁμοῦ, ἔρχομαι ὁμοῦ εἰς βοήθειαν, Γρηγ. Θαυματουργ. 1068A.

συνεπιβουλεύω, ἀπὸ κοινοῦ μετά τινος ἐπιβουλεύω, ὡς καὶ τούτους συνεπιβουλεύοντας Ξεν. 'Ελλ. 5. 4, 22, Διόδ. 5. 50, κλπ.· τινὶ 'Ισαῖ. 61. 40, Διον. 'Αλ., κλπ. — "Ιδε Κόντου Γλωσσ. Παρατηρ σ. 15.

συνεπίβουλος, ον, ὁ συνεπιβουλεύων, 'Ιωσήπ. 'Ιουδ. 'Αρχ. 18, 6, 6.

συνεπιγαυρόω, συνεπιθαρρύνω, ἐγκαρδιώνω ἀπὸ κοινοῦ, Πλούτ. 2. 746D, 796A.

συνεπιγελάω, ἐπιγελῶ χαιρεκάκως, «ἐπιχαίρειν μὲν γὰρ ἐστι τὸ συνεπιγελᾶν τοῖς ἀλλοτρίοις κακοῖς» 'Αμμών. σελ. 57, ἐν λέξ. **ἐπιχαίρειν**.

συνεπιγίγνομαι, ἀποθ., ἐπιγίγνομαι, ἐπέρχομαι ὁμοῦ, ἐπὶ πυρετῶν, Διοδ. 'Εκλογ. 520. 25.

συνεπιγραφεύς, ὁ, ὁ σὺν ἑτέρῳ ἐπιγραφεύς, συγγραμματεύς, 'Ισοκρ. 367A.

συνεπιγράφω [ᾰ], μέλλ. **-ψω**, ἐπιγράφω ἢ ἀποδίδω ὁμοῦ ἢ προσέτι, συναποδίδω, τύχην πράγμασι Πλούτ. 2. 816D. - Παθ., δίδω τὸ ὄνομά μου εἴς τι, λαμβάνω μέρος εἴς τι μετά τινος, τινι Φίλων 1. 464, "Ιππαρχ. εἰς 'Αράτ. Φαινόμ. 172B, Κλήμ 'Αλεξ. 860, κτλ.

συνεπιδείκνυμι ἢ -ύω, ἐπιδεικνύω ὁμοῦ, ἐν τῷ παθητ. «ἐπὶ τοὺς τόπους ἀεὶ τοὺς διὰ λόγου συνεπιδεικνυμένους» Πολύβ. 3. 38, 5.

συνεπιδεσμέω, ἐπιδεσμέω ὁμοῦ, Σωρ. 'Εφ. ἔκδ. Erm. σ. 125, Μ. Ψελλ. ἐν Σάθ. Μεσ. βιβλ. τ. Ε', σ. 400.

συνεπιδέχομαι, ἀποθετ., ἐπιδέχομαι, δέχομαι ὁμοῦ, Θεόδωρ. Μοψουεστ. ἐν Maji Coll. Vat. τ. 6, σ. 306.

συνεπιδέω, ἐπιδένω ὁμοῦ μετά τινος, τὸ ἕτερον σκέλος τῷ ὑγιεῖ συνεπιδεῖν 'Ιππ. π. 'Ιητρ. 748.

συνεπιδηλόω, ἐπιδηλόω ὁμοῦ, Ρύθ. Ζυγ. ἐν Mi. Pa. gr. τόμ. 129, σελ. 1081, ἔνθα ὅμως φέρεται καὶ διάφορ. γραφ. **συμπαραδηλόω**.

συνεπιδημέω, ἐπιδημῶ, διαμένω ὁμοῦ μετά τινος, συνοικῶ, Στράβ 685. **2)** ἐπὶ πραγμάτων, συνεπιδημησάντων αὐτῇ (δηλ. τῇ κιβωτῷ) τῶν δεινῶν 'Ιωσήπ. 'Ιουδ. 'Αρχ. 6. 1, 2.

συνεπιδίδωμι, παραδίδω ὁλοκλήρως ἢ ἑκουσίως, ἑαυτόν τινι ἢ εἴς τι Πολύβ. 32. 10, 5., 21. 10· τὰ σώματα προκινδυνεῦσαι Διον. 'Αλ. 3. 15. **2)** προσφέρω ὁμοῦ, τὴν χεῖρά τινι Θεμίστ. 90A. **II**. ἀμεταβ., ἐπιδίδω ὁμοῦ, προάγομαι ὁμοῦ μετά τινος, Πλούτ. 2. 448D.

συνεπιδράσσομαι, μέσ., ἐπιδράττομαι, ἐπιλαμβάνομαι, «ἀδράχνω», πιάνω ὁμοῦ, τῶν αὐτῆς ἡνιῶν συνεπιδράξασθαι Εὐστ. Πονημάτ. 279. 30.

συνεπιζητέω, συνερευνῶ, συνεξετάζω τι μετά τινος, τινί τι 'Αρισταίν. 2. 3.

συνεπιθειάζω, ἀποδίδω εἰς θείαν παρέμβασιν, Πλουτ. Σύλλ. 6, κτλ.· σ. τὸ χρηστήριον, ἀναγνωρίζω αὐτὸ ὡς θεῖον, ὁ αὐτ. 2. 409C.

συνεπίθεσις, εως, ἡ, ἀπὸ κοινοῦ ἐπίθεσις, συνέφοδος πρὸς ἀπάτην, ἀπάτη, δόλος, 'Ακύλ. ἐν Ψαλμ. ΡΙΗ', 118 (Παλ. Διαθ.).

συνεπιθεωρέω, θεωρῶ ὁμοῦ μετά τινος, συνεξετάζω, Σέξτ. 'Εμπ. π. Μ. 7. 46· τινί τι, πρᾶγμά τι μετά τινος ἄλλου, Ideler Phys. 2. 62· ἢ πρᾶγμά τι μετά τινος προσώπου, 'Ιώβιος ἐν τῇ Φωτ. Βιβλ. 188. 29.

συνεπιθήγω, ἀκονῶ ὁμοῦ, συμπαροξύνω, τῆς ψυχῆς τὸ μαντικὸν..δεῖται τοῦ συνεξάπτοντος καὶ συνεπιθήγοντος Πλούτ. 2. 433D.

συνεπιθορυβέω, ἀπὸ κοινοῦ ἐπιθορυβῶ, μεγαλοφώνως ἐπιδοκιμάζω, ἐπαινέσεις καὶ συνεπιθορυβήσεις τοῖς κολακεύουσι; Πλούτ. 2. 531C.

συνεπιθρηνέω, ἀπὸ κοινοῦ μετά τινος θρηνῶ, συνοδύρομαι, Πλούτ. 2. 56A, κτλ.· τινι αὐτόθι 541A, κτλ.

συνεπιθρήνησις, εως, ἡ, τὸ συνθρηνεῖν, τὸ ἀπὸ κοινοῦ θρηνεῖν, συνοδύρεσθαι, Πλούτ. 2. 610B, ἐν τῷ πληθ.

συνεπιθρυψις, ἡ, τὸ ὁμοῦ ἢ ἀπὸ κοινοῦ θρύπτεσθαι, μετέχειν τῆς τρυφῆς καὶ χλιδῆς, συνηδυπάθεια, Πλούτ. 2. 1092D, ἐν τῷ πληθυντ.

συνεπιθυμέω, ἐπιθυμῶ ὁμοῦ μετά τινος, συνεπιθυμεῖν σοι τῶν καλῶν τῷ ἱππικῷ Ξεν. 'Ιππαρχ. 1. 8.

συνεπιθυμητής οῦ, ὁ, ὁ συνεπιθυμῶν, ὁ τὸ αὐτὸ ἐπιθυμῶν, συνεραστής, Πλάτ. Κλειτοφ 480D.

συνεπιθωΰσσω, διὰ φωνῶν συμπαρορμῶ, θηρεύουσιν ἀγρότερός τις συνεπιθωΰσσει καὶ συνεξορμᾷ θεὸς Πλούτ. 2. 757D.

συνεπικάθημαι, Παθ., ἐπικάθημαι ὁμοῦ, συνεπεκάθητο τῷ φρέατι περὶ τὸ στεφάνωμα Εὐμάθ. σ. 10.

συνεπικαίω, ἐπικαίω ὁμοῦ, τινί τι Θεοφρ. π. Φυτ. Αἰτ. 5. 17. 6.

συνεπικαλέομαι, Μέσ., ἐπικαλοῦμαι ὁμοῦ μετά τινος, τινά τινι 'Αρρ. 'Αν. 6. 3, Γρηγ. Νύσσ. τ. 3, σ. 611B.

συνεπίκειμαι, Παθ., ἀπὸ κοινοῦ μετά τινος ἐπιτίθεμαι, συνεπίκεισθ' ὑμεῖς 'Αριστοφ. 'Ιππ. 267.

συνεπικεράννυμι, ἐπικεράννυμι, ἀναμιγνύω ὁμοῦ προσέτι, Φιλοστοργ. 'Εκκλ. 'Ιστ. 4. 9· οὕτω **-κιρνάω**, Πρόκλ. Παράφρ.

συνεπικερδαίνω, κερδαίνω ὁμοῦ μετά τινος, «ἢ ἄλλο τι τῶν χαμαιπετῶν καὶ προσκαίρων συνεπικερδήσοντες τῷ παιδὶ» 'Αθαν τ. 2, σ. 417C.

συνεπικλάω, ἐπικλῶ ἔτι, κάμπτω ὁμοῦ ἢ συγχρόνως, μεταφ., τῆς αἰσθήσεως συνεπικλώσας τὴν διάνοιαν Πλουτ. Φιλοπ. 9.

συνεπικλύζομαι, Παθ., ἐπικλύζομαι ὁμοῦ, «τῶν ἐν τῇ μήτρα συνεπικλυζομένων χυμῶν καὶ ὑδάτων» Γρηγ. Ναζ. τ. 2, σ. 38.

συνεπικοινωνέω, ἐπικοινωνῶ μετά τινος εἴς τι, κἂν συνεπικοινωνῶσι τῷ ἥπατι τοῦ πάθους οἱ νεφροὶ 'Ιω. 'Ακτουαρ. π. Διαγνώσ. ἐν Ideler Phys 2. 376.

συνεπικομίζω, ἐπικομίζω, φέρω πρός τι ὁμοῦ, Φωτ. 'Επιστ. 5, σ. 233, ἐν τέλει.

συνεπικόπτω, ὁμοῦ ἐπικόπτω, διακόπτω, Γρηγ. Νύσσ. τ. 1, σ. 393B.

συνεπικοσμέω, ἀπὸ κοινοῦ ἐπικοσμῶ, στολίζω, Ξεν. 'Ιέρ. 8. 6· τὸν λόγον 'Αριστ. Τοπ. 8. 1, 18· τὸν βίον ὁ αὐτ. ἐν 'Ηθ. Νικ. 1. 10, 12.

συνεπικουρέω, ἀπὸ κοινοῦ ἐπικουρῶ, ὡς ἐπίκουρος προσέρχομαι, βοηθῶ, ἀνακουφίζω, Ξεν. 'Ιέρ. 3. 2· τινι Σέξτ. 'Εμπ. π. Μ. 5. 32· ταῖς ἀπορίαις τινὸς Ξεν. Κύρ. 1. 6, 24.

συνεπικουρία, ἡ, ἀπὸ κοινοῦ ἐπικουρία, βοήθεια, Λέοντ. Αὐτοκρ. Πανηγυρ. εἰς Χρυσόστ. σ. 272.

συνεπικουφίζω, ἐπικουφίζω, ἐλαφρύνω συγχρόνως, Πλουτ. Κάμιλλ. 25. **II**. βοηθῶ εἰς ἀνακούφισιν, Φίλων 2. 364, Πλουτ. Εὐμέν. 9.

συνεπικραδαίνω, κινῶ, ἐπισείω πρὸς τὰ ἔμπρὸς καὶ πρὸς τὰ ὀπίσω ὁμοῦ μετά τινος, σὺν ταῖς οὐραῖς τὰ σώματα συνεπι-

κραδαίνουσι, ἐπὶ κυνῶν, ὅταν ὦσι περὶ τὸ θήραμα, Ξεν. Κυν. 6, 16.

συνεπικρίνω [ῑ], βοηθῶ εἰς τὸ κρίνειν ἢ ἐπικρίνειν τινά, ὁμοῦ ἐν ταὐτῷ κρίνω, ξυνεπέκρινεν ἡμᾶς, τὰς θεωρίας ἢ τὰ φρονήματα ἡμῶν, Πλάτ. Νόμ. 792C. 2) βοηθῶ ὅπως ἀποφασισθῇ ὑπόθεσίς τις, συναποφασίζω, Πλούτ. 2. 53B, Λογγῖν. 1. 2.

συνεπικροτέω, ἀπὸ κοινοῦ ἐπικροτῶ, ἐπαινοῦσι καὶ συνεπικροτοῦσι Πλούτ. 2. 66B· θεάτρου συνεπικροτοῦντος 63A.

συνεπικρύπτω, ἀπὸ κοινοῦ ἐπικρύπτω, ὁμοῦ ἀποκρύπτω, Πλούτ. Ἀλκιβ. 28, Τιμολ. 10, Νικίου καὶ Κράσσ. Σύγκρ. 1.

συνεπικύπτω, πρκμ. **συνεπικεκυφέναι**, ἐπικύπτω ὁμοῦ, Μεταγεν.

συνεπικτᾶσθαι, ἐπικτᾶσθαι ὁμοῦ, E. Mil. ἐν Journ. d. Sav. 1868 Mai, σ. 314 (ἀμάρτ.).

συνεπικῡρόω, ἀπὸ κοινοῦ ἢ ὁμοῦ ἐπικυρῶ, ἂν μὴ συνεπικυρώσῃ τὸ προβεβουλευμένον ὁ δῆμος Πολύβ. 6. 16, 2· τὸ δόγμα 4. 30, 2, κτλ.

συνεπικωκύω, ἀπὸ κοινοῦ ἐπικωκύω, θρηνῶ, συνεπεκώκυον Ἄννα Κομν. σ. 504A.

συνεπικωμάζω, κωμάζω ὁμοῦ μετά τινος, λαμβάνω μέρος εἰς κῶμον, Σάτυρ. παρ' Ἀθην. 534E, Σέξτ. Ἐμπ. π. Μ. 6. 8.

συνεπιλαμβάνομαι, Μέσ.· — ἐπιλαμβάνομαι ὁμοῦ, λαμβάνω καὶ ἐγὼ μέρος, συμβοηθῶ, μετὰ γεν. πράγμ., τοῦ στρατεύματος, τοῦ πολέμου Ἡρόδ. 3. 48, 5. 45, ἴδε Θουκ. 8. 26· οὕτως ἀπολ., ὁ αὐτ. 1. 115 (πρβλ. **συλλαμβάνω** VI, **προσεπιλαμβάνω** II. 2). 2) σ. τινί τινος, λαμβάνω μέρος μετά τινος, ἢ βοηθῶ τινα εἴς τι πρᾶγμα, σ. τινι τοῦ ἔργου Λουκ. Πρ 13, πρβλ. Εἰκ. 8· σ. τινι σωτηρίας, βοηθῶ τινα ὥστε νὰ σωθῇ, Πολύβ. 11. 24, 8, κτλ.· σ. τινι τοῦ φόβου, συντελῶ εἰς αὔξησιν τοῦ φόβου, Θουκ. 6. 70·— μετὰ δοτ. προσ. μόνον, λαμβάνω μέρος μετά τινος, ὑποστηρίζω τινά, ὁ αὐτ. 3. 74, Πολύβ. 5. 90, 2, κτλ. 3) μετὰ γεν. προσ., λαμβάνω τὸ μέρος τινός, Πλουτ. Θεμιστ. 12.

II. ἐνίοτε τὸ ἐνεργ. κεῖται ἐπὶ τῆς σημασίας ταύτης, οἷον, λόγῳ καὶ ἔργῳ σ. τινι, λαμβάνω μέρος μετά τινος λόγῳ καὶ ἔργῳ, Θουκ. 2. 8· τινί τινος Μάξ. Τύρ. 14. 7· τινὶ πρός τι ὁ αὐτ. 16. 8· μετὰ δοτ. πράγμ., βοηθῶ τινὰ εἰς.., ὁ αὐτ. 21. 4·— ἀπολ., βοηθῶ, Ἀρρ. Ἀνάβ. 6. 3, 3. — Πρβλ. **προσεπιλαμβάνω** II. 2.

συνεπιλαμπρύνω, ἐπιλαμπρύνω συγχρόνως, συνανυψῶ, συνεξορμῶν πρὸς τὰ καλὰ καὶ συνεπιλαμπρύνων τὸ φρόνημα Πλούτ. 2. 795C.

συνεπιλάμπω, συγχρόνως ἐπιλάμπω, ἐὰν ἥλιοι συνεπιλάμψωσιν Θεοφρ. π. Φυτ. Αἰτ. 4. 4, 13.

συνεπιλέγομαι, ἀποθ., συναναγινώσκω, πλησίον παρεῖναι καὶ συνεπιλέγεσθαι τοὺς Γυμνοσοφιστὰς παρακαλέσας, ἐπῄει τὴν γραφὴν Ἡλιόδ. 10. 13. II. ὡς παθ., ἀναγινώσκομαι ὁμοῦ μετά τινος, καὶ τὰ τούτοις συνεπιλεγόμενα Εὐσ. Εὐαγγ. Προπ. 224D.

συνεπιλείπω, ἐκλείπω ὁμοῦ, τότε συνεπιλιπεῖν συνέβαινε τὴν ἐπιστήμην τοῖς ἐπισταμένοις Ἰάμβλ. ἐν Βίῳ Πυθ. σ. 202, Πλωτῖν. τ. 2, σ. 1228, 2, Γρηγ. Νύσσ. τ. 1, σ. 184C.

συνεπιλεκτέον, ῥηματ. ἐπίθετ. ἐκ τοῦ **συνεπιλέγω** (ὅπερ δὲν ἀπαντᾷ), προσθετέον ἔτι, Εὐστ. 1406. 50.

συνεπιλογίζομαι, ἀποθ., ἐπιλογίζομαι ὡσαύτως, συνυπολογίζω, Πτολ. Μαθ. τ. 1, σελ. 73B· ῥημ. ἐπίθ. **συνεπιλογιστέον**, Πτολ., αὐτόθι τ. 2, σ. 405C, Εὐστ. 366. 34.

συνεπιμαρτῠρέω, ἀπὸ κοινοῦ ἐπιμαρτυρῶ, συνεπιμαρτυρεῖ ὁ βίος ἅπας Ἀριστ. π. Κόσμ. 6. 31· τινι, μετά τινος, Πολύβ. 26. 9, 4, Ἀθήν. 595E, κτλ. II. ἀπὸ κοινοῦ συνιστῶ, φέρω καλὴν μαρτυρίαν περί τινος, Πλούτ. 2. 486C, 539D, κτλ.

συνεπιμαρτύρησις [ῠ], ἡ, ἡ ἀπὸ κοινοῦ μαρτυρία ἢ ἐπιδοκιμασία, ἐπιβεβαίωσις, ἐν τρόπῳ ἀποκρίσεως ἢ συνεπιμαρτυρήσεως Μᾶρκ. Ἀντων. 1. 10.

συνεπιμαρτύρομαι [ῡ], ἀποθετ., ἀπὸ κοινοῦ ἐπιβεβαιῶ, αἱ ἐπιγραφαὶ συνεπιμαρτύρονται τοῖς εἰρημένοις Φώτ. 128. 26., 199. 20.

συνεπιμαχέω, ἔρχομαι εἰς ἐπιμαχίαν, συνεπιβοηθῶ, οὐ δυνήσονται οἱ ὑπὸ τὸν ἐπίσκοπον συνεπιμαχεῖν τῷ ἐπισκόπῳ Ἀποστ. Διαταγ. 2, 17, σ. 227D.

συνεπιμειδιάω, μειδιῶ ἐπί τινι ὁμοῦ, συνεπιμειδιᾶν τοῖς πάθεσι Πλούτ. 2. 672E.

συνεπιμελέομαι, ἀποθετ. (μέλομαι) ἀπὸ κοινοῦ μετά τινος ἐπιμελοῦμαι, φροντίζω περί τινος ἢ προσέχω εἴς τι, τινος Θουκ. 8. 39· Ξεν.· σ. τῆς στρατιᾶς, ἔχειν κοινὴν ἐπιμέλειαν ἢ φροντίδα περὶ αὐτῆς, ὁ αὐτ. ἐν Ἀναβ. 6. 1, 22· σ. τινος μετά τινος Δημ. 1168. 17· ἀπολ., Ξεν. Ἀπομν. 2. 8, 3· μετ' ἐξηρτημένης προτάσεως, ξυνεπιμεληθῆναι ὅπως τι ἔσται Πλάτ. Νόμ. 754C· σ. ὡς .. Συλλ. Ἐπιγρ. 115.

συνεπιμελητής, οῦ, ὁ, ὁ ὁμοῦ φροντίζων περί τινος, συμβοηθὸς ἐπιμελητοῦ, Ξεν. Κύρ. 5. 4, 17, Συλλ. Ἐπιγρ. 109.

συνεπιμερίζω, ἐπιμερίζω ὁμοῦ, συναπονέμω, Εὐστ. 100. 4, 828, 13, Ποιημάτ. 226. 48, κτλ.

συνεπιμεριστέον, ῥηματ. ἐπίθετ. τοῦ **συνεπιμερίζω**, δεῖ συνεπιμερίζειν, Εὐστ. εἰς Ὀδ. Σ. 1770, 1.

συνεπιμετρέω, προστίθημι εἰς τὸ μέτρον, προστίθημι ὡς ἐπίμετρον, Βυζ., Lex. Gr. Lat, ap. P. Baldvin 1611.

συνεπιμίγνυμι, ἐπιμιγνύω προσέτι, Ideler Phys. 2. 389· οὐ μόλυβδον ἂν συνεπιμίξαις ἀργύρῳ Ἀρισταίν. 1. 10.

συνεπινεύω, = ἐπινεύω, συγκατανεύω, Ἀριστοτ. Σοφιστ. Ἔλεγχ. 7. 2, Συλλ. Ἐπιγρ. (προσθῆκαι) 2114bb. 15· τινί, εἴς τι πρᾶγμα, αὐτόθι 3524, 20· ἐξ ὅλης ψυχῆς ταῖς ἡδοναῖς συν. τινι Πλούτ. 2. 446A.

συνεπινήχομαι, ἀποθετ., ἐπινήχομαι, ἐπιπλέω ἐπὶ τῆς ἐπιφανείας ὁμοῦ, συνεπινηχομένων καὶ διαπλεκομένων ἐπαφροδίτως ἀλλήλοις Ἀρισταίν. 1. 3· τινὰ συνεπινηχόμενα ἐρυθρὰ ψήγματα Ἰω. Ἀκτουάρ. ἐν Ideler Phys 2. 181.

συνεπινοέω, ἐπινοῶ ἢ μηχανῶμαι ὁμοῦ, Σέξτ. Ἐμπ. π. Μ. 8. 101· συνεπινοήσας πῶς καὶ τίνι τρόπῳ δύναται σῶσαι τὸν Ἀχαιὸν Πολύβ. 8. 17, 2. II ῥηματ. ἐπίθ. **συνεπινοητέον**, πρέπει τις νὰ ἐπινοήσῃ ὡσαύτως, Εὐστ. 821. 1.

συνεπιορκέω, ἐπιορκῶ ὁμοῦ μετά τινος, κάμνω ψευδῆ ὅρκον μετ' αὐτοῦ, Πλούτ. 2. 808A.

συνεπιπάσχω, ὁμοῦ πάσχω, ὁμοῦ αἰσθάνομαι συγκίνησιν, ὥσπερ ἐν δίκῃ μετὰ πάθους τινὸς συνεπιπάσχων Πλούτ. 2. 1037A.

συνεπιπλέκω, ἀπὸ κοινοῦ πλέκω, Εὐήνῳ δάφνην συνεπίπλεκε Ἀνθ. Π. 4. 2, 13, — Παθ., στενῶς συμπλέκομαι, συνεπιπλάκη γὰρ ἀλλήλοις τὰ γένη Ἀφρικαν. ἐν Εὐσ. Ἐκκλ. Ἱστ. 1. 7.

συνεπιπλέω, ἀπὸ κοινοῦ ἐπιπλέω ἐν ναυτικῇ ἐκστρατείᾳ, οὐ μόνον τὴν οὐσίαν ἀναλίσκων, ἀλλὰ καὶ τῷ σώματι κινδυνεύων συνεπιπλέων Δημ. 1224, 27.

συνεπιπνέω, ἐπιπνέω ὁμοῦ, E. Mil. ἐν Journ. de Sav. 1868 Mai, σ. 314 (ἀμάρτυρ.).

συνεπιπολάζω, ἐπιπολάζω, εἶμαι ὁμοῦ ἐπὶ τῆς ἐπιφανείας, Βασίλ. Σελευκ. σ. 46.

συνεπιπονέω, συγκοπιάζω, Ξεν. Κύρ. 5. 4, 47 (διάφορ. γραφ. **ἐπιπονεῖν**).

συνεπιπρεσβεύω, ὑπάγω ὁμοῦ ὡς πρεσβευτής, Θεόδ. Στουδ.

συνεπιρρᾰπίζω, ῥαπίζω, κολάζω, τιμωρῶ συγχρόνως, Φωτ. Βιβλιοθ. 208. 19.

συνεπιρραίνω, ἐπιρραίνω ὁμοῦ, E. Mil. ἐν Journ. des Sav. 1868 Mai. σ. 314.

συνεπιρρέπω, ἐπιρρέπω πρός τι ὁμοῦ, συνεπιρρέπει τούτῳ (δηλ. τῷ ὀφθαλμῷ) καὶ ἡ διάνοια Πλουτ. Φωκ. 2.

συνεπιρρέω, συρρέω, τρέχω πρός τι ὁμοῦ, συνεπιρρέοντος καὶ τοῦ κατ' ἀγροὺς διατρίβοντος ὄχλου Διον. Ἁλ 10, 16· τὸ ἔλαιον συνεπιρρεῖ πορρωτάτω δι' ὑγρότητα τῶν μερῶν κινουμένου Πλούτ. 2. 696D.

συνεπιρρώννῡμι, συμβοηθῶ ἐνισχύων, ὑποστηρίζων, παρεκάλει τοὺς θεοὺς .. ἀμῦναι καὶ συνεπιρρῶσαι τοὺς Ἕλληνας Πλουτ. Ἀλέξ. 33, κτλ.— Παθητ., ἐπὶ τῆς γλώσσης, ὡσαύτως ἐνισχύομαι, Λογγῖν. 11. 2.

συνεπισείω, ἐπισείω ὁμοῦ ἀπειλητικῶς, Γρ. Ναζ. τ. 3, σ. 590A.

συνεπισημαίνω, ὁμοῦ ἐπισημαίνω, δεικνύω, φανερώνω, Πλούτ. 2. 398A·— κατὰ τὸ πλεῖστον ἐν τῷ μέσῳ τύπῳ, ἀπὸ κοινοῦ μετά τινος ἐκφράζω γνώμην περί τινος πράγματος (μετ' αἰτ.), εἴτε ἀποδοκιμάζων, Πολύβ. 4. 24, 4· εἴτε ἐπιδοκιμάζων Διόδ. 17. 25.

συνεπισκεπτέον, ῥηματ. ἐπίθετ. τοῦ **ἐπισκοπῶ**, δεῖ συνεπισκοπεῖν, Φίλων II. 335, 6.

συνεπισκέπτομαι, συνυπολογίζω, συναριθμῶ, λαμβάνω ὑπ' ὄψιν, τὴν φυλὴν Λευὶ οὐ συνεπισκέψῃ, καὶ τὸν ἀριθμὸν αὐτῶν οὐ λήψῃ ἐν μέσῳ υἱῶν Ἰσραὴλ Ἑβδ. (Ἀριθμ. Α', 49)· οὐ συνεπεσκέπησαν ἐν τοῖς υἱοῖς Ἰσραὴλ αὐτόθι Α', 47, ἴδε **συνεπισκοπέω** ἐν τέλει.

συνεπισκευάζω, παρασκευάζω ἢ διαπλάττω ὁμοῦ μετά τινος, Πρόκλ. παράφρ. Πτολ. 1. 2.

συνεπίσκεψις, ἡ, σύγχρονος ἐπίσκεψις, Λέοντος Νεαρὰ πϛ'.

συνεπισκιάζω, ἐπισκιάζω ὁμοῦ, Φώτ. Ἀμφιλ. σελ. 291, ἔκδ. Σ Κ. Οἰκ.

συνεπισκιρτάω, ἐπισκιρτῶ ὁμοῦ, E. Mil. ἐν Journ. d. Sav. 1868 Mai, σ. 314 (ἀμάρτυρ.).

συνεπισκοπέω, μέλλ. **-σκέψομαι**, ἐπισκοπῶ, ἐξετάζω ὁμοῦ μετά τινος, τί τινι Ξεν. Ἀπομν. 4. 7, 8, Πλάτ. Ἱππ. Μείζ. 296B· μετά τινος ὁ αὐτ. ἐν Κρατύλ. 422C· (ἀλλά, σ. τινί τι, παραβάλλειν τι πρός τι, Γαληνὸ.) τι ἔκ τινος Ἀριστ. Ἠθικ. Μεγ. 2. 6, 1· τι Στράβ. 349, κτλ.· μετ' ἐξηρτημένης προτάσεως, σ. ἢ .. Πλάτ. Ἀπολ. 27A. — Ὁ μὴ Ἀττικ. ἐνεστ. **συνεπισκέπτομαι** παρὰ Γαληνῷ τ. 2, σ. 201, Παλ. Διαθ. καὶ μεταγενεστέροις.

συνεπίσκοπος, ὁ, ὁ ἀπὸ κοινοῦ ἐπισκοπῶν, ἐπιβλέπων, ὁ καὶ αὐτὸς ἐπίσκοπος ὤν, συνάδελφος ἐπισκόπου, Ἀθαν. τ. 1, σ. 444, 567, κλπ.

συνεπισκοτέω, ἀπὸ κοινοῦ ἐπισκοτίζω, διὰ σκότους καλύπτω,

νυκτὸς συνεπισκοτεῖ τὴν ὄψιν Ἰω. Ἀκτουάρ ἐν Ideler Phys 2. 447.

συνεπισκυθρωπάζω, σκυθρωπάζω, γίνομαι σκυθρωπὸς ἐπί τινι ἢ μετά τινος, Πλούτ. 2 672E.

συνεπισπάω, ἐπισπῶ, ἐπισύρω ὁμοῦ, ἵππος βίᾳ συνεπισπάσας τὸν ἡνίοχον εἰς τὸ ῥεῖθρον Πλουτ. Κράσσ 19. **II**. ὡς ἐπὶ τὸ πλεῖστον ἐν τῷ μέσῳ τύπῳ, συμπαρασύρω μετ' ἐμαυτοῦ, μάλιστα πρὸς καταστροφήν, τοὺς φίλους Πλάτ. Πολ. 451A, πρβλ. Δημ. 411. 2· καὶ ἄνευ κακῆς τινος σημασίας, Πλάτ. Τίμ. 44A, Ξεν. Κύρ. 2. 2, 24. **2)** ἐφελκύω τινὰ πρὸς ἐμαυτόν, δηλ. πρὸς τὴν ἰδίαν μου γνώμην, τινα πρὸς τὸ ξυμφῆσαι Πλάτ. Σοφ. 236D· πρὸς τὴν αὐτῶν γνώμην Πολύβ. 30. 6, 7. **3)** σ. τὸν ἀέρα, εἰσπνέω συγχρόνως, Ἀριστ. Προβλ. 11. 62.

συνεπισπεύδω, ἀπὸ κοινοῦ μετά τινος ἐπισπεύδω, ἐπιταχύνω τι, τὰς ἁμάξας Ξεν. Ἀν. 1. 5, 8.

συνεπίσταμαι, ἀποθ., γινώσκω καλῶς μετά τινος, μετέχω τῶν μυστικῶν αὐτοῦ, τὼ δύω στρατηγώ, οἳ συνηπιστάσθην τὴν τοῦ Μίλωνος ἐπὶ τοὺς περὶ Λεοντιάδην ἐπανάστασιν Ξεν. Ἑλλην. 5. 4, 19· συνεπίσταμαί σοι πονηρὰ δράσαντι Λουκ. Κατάπλ. ἢ Τύραννος 23, πρβλ. 27· οὐδὲν ἐμαυτῷ ψεῦδος εἰπόντι συνηπιστάμην ὁ αὐτ. π. Ἀληθ. Ἱστ. 2. 31, πρβλ. περὶ Διαβολ. 9. **2)** γινώσκω ἀπὸ κοινοῦ, γινώσκω καλῶς, τὸν ἥλιον καὶ σελήνην δρῶντας ταῦθ' ἃ ἀεὶ πάντες ξυνεπιστάμεθα Πλάτ. Νόμ. 812C· οὐκ ἄρα σ. ὅτι ἐπίστανται Ἀριστ. Σοφιστ. Ἔλεγχ. 19, 3.

συνεπίστασις, ἡ, ἡ ἀπὸ κοινοῦ παρατήρησις, Ἰάμβλ. ἐν Βίῳ Πυθαγ. σ. 390 Kiessl., πρβλ. **συνεπίτασις**.

συνεπιστατέω, ἐνεργῶ ὡς κοινὸς ἐπιστάτης ἢ προστάτης, εἰ δὲ πόλις ὅλη συνεπιστατοῖ Πλάτ. Πολ. 528C· συνεπιστατοῦσα τοῖς φύλαξι Εὐστ. 797, 43.

συνεπιστέλλω, ἐπιστέλλω μετά τινος ἢ ὁμοῦ, ἐπαχθὲς δὲ μηδὲν συνεπιστελλέτω Λουκ. Κρονοσ. 15.

συνεπιστενάζω, ἐπιστενάζω ὁμοῦ, στενάζω ἐπί τινι ὁμοῦ, μὴ ὄκνει καὶ συνεπιστενάξαι Ἐπικτ. Ἐγχειρ. 16.

συνεπιστένω, =τῷ προηγ., Πλουτ. Γάλβ 23.

συνεπιστήμων, ονος, ὁ, ἡ, ὁ συνεπιστάμενός τι, Ζωναρ. Λεξ. ἐν λέξ. **συνίστωρ**.

συνεπιστρατεύω, ἀπὸ κοινοῦ στρατεύω, ἐκστρατεύω ὁμοῦ, συνεκστρατεύω, τινὶ Θουκ. 5. 48, Δημ. 61. 10, κτλ.

συνεπιστρέφω, μέλλ. -ψω, στρέφω συγχρόνως, περιστρέφω ὁμοῦ, Κλωθὼ τῇ δεξιᾷ χειρὶ ἐφαπτομένην συνεπιστρέφειν τοῦ ἀτράκτου τὴν ἔξω περιφορὰν Πλάτ. Πολ. 617C, πρβλ. Τίμ. 84C. **2)** ἀπὸ κοινοῦ στρέφω πρός τι, καθιστῶ τινα προσεκτικόν, Πλουτ. Νουμ. 14· τὸν ἀκροατὴν πρὸς ἑαυτὸν ὁ αὐτ. 2. 542C, κτλ.— Παθ., οὐ πρὸς ἓν τέλος ὀφείλοντας ἐξ ἀρχῆς ἄγεσθαι καὶ συνεπιστρέφεσθαι τοῖς ἤθεσι ὁ αὐτ. ἐν Λυκούργ. καὶ Νουμ. Συγκρ. 4. **II**. ἀμεταβ., στρέφομαι ὁμοῦ πρός τι, πρὸς ἀλλήλας ὁ αὐτ. ἐν Νουμ. 13.

συνεπισύρομαι [ῡ], μέσ., ἐπισύρω πρὸς ἐμαυτὸν ἢ μετ' ἐμαυτοῦ, Ἰω. Ἀκτουάρ ἐν Ideler Phys 1. 331, Γαλην. τ. 4, σ. 494.

συνεπισφάζω, σφάζω προσέτι ἢ ὁμοῦ μετά τινος, πυρὰν νήσας καὶ ἐπιθεὶς τὸν Δρύαντα, ᾤετο συνεπισφάξειν καὶ τὴν Παλλήνην Παρθέν. 6. 4.

συνεπισφραγίζω, ἐπισφραγίζω, ἐγκρίνω ὁμοῦ, Θεόδ. Στουδ. 461D.— Μέσ., τοῦ πατρὸς συνεπισφραγιζομένου Ἐπιφάν. τ. 1. σ. 179B.

συνεπισχύω, ἀπὸ κοινοῦ ἐπισχύω, ὑποστηρίζω, βοηθῶ, συμβοηθῶ, Ξεν. Ἀπομν. 2. 4, 6· τινὶ Πολύβ. 6. 6, 10, κτλ.· κατά τινος αὐτόθι 6. 8, 1· σ. ταῖς πλεονεξίαις τινὸς ὁ αὐτ. 28. 5, 5 ἐπὶ κακῆς σημασίας, ἑνώνω τὰς δυνάμεις μου μετά τινος ἄλλου ἐπὶ κακῷ, συνωμοτῶ, τινὶ Συλλ. Ἐπιγρ. 123. 6.

συνεπίτασις, ἡ, ἡ ἀπὸ κοινοῦ ἐπίτασις, ἔντασις, Ἰάμβλ. ἐν Βίῳ Πυθαγ. § 69.

συνεπιταχύνω, ἀπὸ κοινοῦ ἐπιταχύνω, ὡς τὸ **συνεπισπεύδω**, Πλουτ. Ἆγις 8, κτλ.

συνεπιτείνω, ἀπὸ κοινοῦ ἐπιτείνω, συντελῶ πρὸς αὔξησιν, τὴν ὀργήν τινος Πολύβ. 3. 13, 1· τὴν ψυχρότητα Πλούτ. 2. 691B· τὰ ἀλγεινὰ Βασίλ., κλπ.— Παθ., συναυξάνομαι ὁμοῦ μετά τινος, τινὶ Πλούτ. 2. 1020C. **2)** ἀμεταβ., συμφωνῶ κατὰ τὴν ἔντασιν πρός τι, τινὶ Ἀριστ. περὶ Ἐνυπν. 2, 17, πρβλ. Πλούτ. 2. 451E.

συνεπιτελέω, συνεργῶ, συντελῶ εἰς ἐπιτέλεσιν, εἰς ἐκτέλεσιν, Ἀριστ. Μετεωρ. 4. 2, 3 (ἐν τῷ Παθητ), Πλουτ. Περικλ. 13. **2)** ἐπιτελῶ ὁμοῦ, παιᾶνα θεῷ Ξεν. Ἀγησ. 2, 17.

συνεπιτέλλω, ἀνατέλλω ὁμοῦ μετά τινος, ἅμα συνεπιτέλλοντα τῷ ἡλίῳ Ἰω. Διακ. εἰς Ἡσιόδ. Θεογ. Ἀλληγορ. σ. 472 Gaisf.

συνεπιτέμνω, ἀπὸ κοινοῦ ἐπιτέμνω, συντέμνω, συντομώτερον ποιῶ, Εὐστ. 1167. 62.

συνεπιτίθημι, ἐπιτίθημι προσέτι, μηδενὸς ἀφαιρεῖν βάρος, συνεπιτιθέναι Πλούτ. 2. 748C. **II**. Μέσ., ἀπὸ κοινοῦ μετά τινος ἐπιτίθεμαι, ἐπιπίπτω, προσβάλλω, τῷ Μήδῳ Θουκ. 3. 54, πρβλ. 6. 17· ξ. τινὶ μετά τινος ὁ αὐτ. 1. 23., 6. 10, Πλάτ. Φίληβ. 16A, ἀπολ., Ξεν. Κύρ. 4. 2, 3. **2)** ξ. τῷ ἔργῳ, ἐπιδίδομαι ὁμοῦ εἰς τὸ ἔργον, Θουκ. 6. 56, πρβλ. Ἰσαῖον 59. 17· **3)** μεταχειρίζομαί τι πρὸς ἰδίαν μου ὠφέλειαν, «Θηβαῖοι μὲν γὰρ τῇ Λακεδαιμονίων ἀγνοίᾳ καὶ τῷ τῶν συμμάχων πρὸς αὐτοὺς μίσει συνεπιθέμενοι» Πολύβ. 6. 43, 4· οὕτως, ἐφοβεῖτο δὲ τὸν Ἀχαιὸν μὴ συνεπίθηται τοῖς καιροῖς ὁ αὐτ. 5. 87, 2· τοῖς καιροῖς συνεπιθέμενοι πρότερον ὁ αὐτ. 3. 15, 10.

συνεπιτιμάω, ἀπὸ κοινοῦ ἐπιτιμῶ, ψέγω, οὐ συνηγανάκτησεν ὁ Λύσανδρος, ἀλλὰ καὶ συνεπετίμησε Πλουτ. Λύσανδρ. 15.

συνεπιτρέπω, ἀπὸ κοινοῦ ἐπιτρέπω, συνεπιτρέπειν αὐτοῖς χρῆσθαι Ἰωσήπ. Ἰουδ. Ἀρχ. 16. 6, 7.

συνεπιτρέχω, ἐπιτρέχω ὁμοῦ, τῷ καιρῷ συνεπιτρέχων Σχόλ. εἰς Ἰλ. Η. 256.

συνεπιτρίβω [ῑ], καταστρέφω συγχρόνως ἢ παντελῶς, συγκαταστρέφω, ἱκανὰ καὶ μικρὰ ἁμαρτηθέντα πάντα συνεπιτρῖψαι Ξεν. Ἀν. 5. 8, 30.

συνεπιτροπεύω, ἐνεργῶ ὡς κοινὸς ἐπίτροπος, Ὀλυμπιόδ. εἰς Πλάτ. Ἀλκ. 1, σ. 60, Συλλ. Ἐπιγρ. (προσθῆκαι) 2114b καὶ bb.

συνεπίτροπος, ὁ, ὁ ἀπὸ κοινοῦ ἐπίτροπος, ὁ καὶ αὐτὸς ἐπίτροπος ὤν, τινι Δημ. 818. 2 καὶ 21.

συνεπιτροχάζω, σπεύδω ὁμοῦ μετά τινος, «συνεπιτροχασθέντος τοῦ λόγου τῷ τε καιρῷ καὶ τῇ τοῦ λαλοῦντος .. σπουδῇ» Εὐστ. 1719. 13.

συνεπιτυφόω, ἐπιτυφόω, πληρῶ τύφου συγχρόνως, ἐπαινέσαι καὶ συνεπιτυφῶσαι βουλόμενος Πλούτ. 2. 58B.

συνεπιφαίνομαι, Παθ., ὁμοῦ μετά τινος ἐπιφαίνομαι, ἡ χάρις συνεπεφαίνετο τοῖς κινήμασι τοῦ προσώπου Πλουτ. Ἀντών. 83 ἐν τῇ ἀρχῇ, 2. 767C, κτλ.

συνεπιφάσκω, ἐπιφάσκω ὁμοῦ, ἐπιβεβαιῶ ὅ,τι λέγει τις, λέγω ναὶ εἰς τοὺς λόγους αὐτοῦ, τὸν κόλακα φωράσας ἀεὶ συνεπιφάσκοντα Πλούτ. 2. 63C.

συνεπιφέρω, ἐπιφέρω ὁμοῦ, φέρω μετ' ἐμαυτοῦ, πίστιν Διον. Ἁλ. περὶ Λυσίου 18· συνεφαρμόζω, ἢ καὶ τοὔνομα (δηλ. τοῦ Μεγ. Ἀλεξάνδρου) πολλῶν ἐν ἀρχῇ συνεπιφερόντων οὐκ ἔφευγε Πλουτ. Πομπ. 2.— Παθ., φέρομαι ὁμοῦ μετά τινος, τινι Διόδ. 13. 45. **II**. ἐπὶ λέξεως, ἐπιφέρω ὁμοῦ, δηλ. περιέχω ὁμοῦ καὶ ἄλλο τι, σημαίνω ὁμοῦ προσέτι (οἷον ἡ λέξις **τετράπουν** περιλαμβάνει καὶ τὴν ἔννοιαν τοῦ ζῴου), Ἀριστ. Τοπ. 6. 6, 12., 8. 2, 6, Ἀναλυτ. Πρότ. 1. 46, 15.

συνεπιφθέγγομαι, ἀποθ., ἐπιφθέγγομαι ὁμοῦ, εἴτε δαιμονίου τινὸς συνεπιφθεγξαμένου Πλουτ. Τιμολ. 27· συνεπιφθέγγεται (ὁ αὐλὸς) τῷ παιᾶνι τὸ θεῖον ὁ αὐτ. 2. 713A.

συνεπιφορτίζω, ἐπιφορτίζω ὁμοῦ, φορτώνω ἔτι μᾶλλον, συνεπιτιθέναι καὶ συνεπιφορτίζειν (βάρος) Πλούτ. 2. 728C.

συνεπιφωνέω, ἐπιφωνῶ, ἐγείρω φωνὴν ὁμοῦ, συνεπιφωνησάντων δὲ πάντων, χαρᾶς ἐπληρώθη τὸ συμπόσιον Ἀριστέας π. τῶν Ἑβδ.

συνεπιχαίρω, χαίρω ἐπί τινος ὁμοῦ, Achmes Ὀνειροκρ. 151.

συνεπιχειρέω, ἐπιχειρῶ ὁμοῦ, ἐπιτίθεμαι ὁμοῦ, συνεπεχείρει πανταχόθεν ἅμα τοῖς πολεμίοις Πολύβ. 3. 84. 1.

συνεπιχειρονομέω, ἐπαναλαμβάνω τι διὰ νέας βίας, τοῖς ἑαυτῶν παρανομήσασι συνεπιχειρονομοῦντες ἄλλην ἐπιβουλὴν Διόδ. Ἐκλογ. 593. 14 Wess (ἴσως ἔπρεπε νὰ ᾖ ἐπιχειρ-).

συνεπιχωρέω, συγκατατίθεμαι, συναινῶ, συνεπιχωρῆσαι τοῖς ἐψηφισμένοις Συλλ. Ἐπιγρ. 2270. 34.

συνεπιχωριάζω, ἐνδιατρίβω ἐν τῷ αὐτῷ χωρίῳ, συνεπιδημῶ, τὰ ἀλλήλοις ἀντικείμενα ἐν τῷ αὐτῷ μετ' ἀλλήλων συνεπιχωριάζειν φύσιν οὐκ ἔχει Γρηγ. Νύσσ. τ. 1, σ. 619C.

συνεπιψεύδομαι, ἀποθετ., ἀπὸ κοινοῦ μετά τινος ψεύδομαι, Καλλ. εἰς Ἄρτ. 223, Λουκ. Ἑταιρ. Διάλογ. 13. 5.

συνεπιψηφίζω, ἐπιψηφίζω καὶ ἐγώ, σ. τὰ δόξαντα τοῖς γέρουσι Ἀριστ. Πολιτικ. 2. 10, 7, πρβλ. Πολύβ. 22. 15, 1.

συνεποδύρομαι, ἐποδύρομαι ὁμοῦ, Μ. Ἀκομ. τ. Β', 103, 14., 249, 14., 322, 12, ἔκδ. Λ.

συνεποκέλλω, ἐποκέλλω, ἔρχομαι πλησίον εἰς τὴν ξηρὰν ὁμοῦ, «συνεποκείλαντες (δελφῖνες) ἐξέθηκαν ἐπὶ τὴν γῆν ἄνθρωπον ἔμπνουν καὶ κινούμενον» Πλούτ. 2. 161A.

συνέπομαι, ἀόρ. -εσπόμην· ἀποθ. Ἀκολουθῶ ὁμοῦ μετά τινος, ἀκολουθῶ ἐκ τοῦ πλησίον, σὺν δ' ὁ θρασὺς εἵπετ' Ὀδυσσεύς (ἔνθα ὅμως τὸ σὺν δύναται νὰ θεωρηθῇ καὶ ὡς ἐπίρρ.), Ὀδ. Κ 436, πρβλ. Θουκ. 1. 60, Ξεν., κλπ.· σ. τινι Ἡρόδ. 5. 57., 7. 39, Αἰσχύλ. Ἀγ. 955, κτλ.· ποίμναις..ξυνειπόμην, ἠκολούθουν τὰ ποίμνια, δηλ. ἐποίμαινον αὐτά, Σοφ. Ο. Τ. 1125· οὗ σοι τῷ βίῳ ξυνέσπετο (ἡ τύχη), δὲν διέμεινε σταθερὰ εἰς τὸν βίον σου, αὐτόθι 1523· (ταῦρος) σιγῇ πελάζων ἄντυγι ξυνείπετο, ἠκολούθει ἐκ τοῦ πλησίον (μηδόλως ὑπολειπόμενος), Εὐρ. Ἱππ. 1231· οὕτω, τῷ χρόνῳ ξ. Πλάτ. Νομ. 721C. **2)** συμφωνῶ, εἶμαι σύμφωνος, τῷ νόμῳ ξυνεπόμενος αὐτόθι 916D· μὴ ξυνέ-

πεσθαι ἐθέλειν Θουκ. 3. 38. **3)** ἐπὶ πραγμάτων, μουσικῇ ξυνεπόμεναι τέχναι, αἱ παρακολουθοῦσαι τὴν μουσικήν, Πλάτ. Φίληβ. 56C· τὰ τούτοις ξυνεπόμενα, τὰ ἐπακόλουθα, τὰ ἀποτελέσματα τούτων, ὁ αὐτ. ἐν Νόμ. 679E, πρβλ. 760A, Φίληβ. 24D, Τίμ. 52D· ἀλλὰ καὶ μετὰ γεν., ὡς τὸ Λατιν. consequentia, ὅσαπερ τούτων ξυνεπόμενα εἴπομεν ὁ αὐτ. ἐν Νόμ. 899C. **4)** σ. τῷ λόγῳ, παρακολουθῶ τὸν λόγον μέχρι τῶν ἀποτελεσμάτων του, αὐτόθι 695C· σ. τοῖς ἀποβαίνουσι Ἀριστ. Ἠθ. Νικ. 4. 12· — ἀπολ., ξυνέπομαι, ἀκολουθῶ, δηλ. σὲ ἐννοῶ, Πλάτ. Σοφ. 238E· συνέψεσθε ὁ αὐτ. ἐν Τιμ. 53C. Ἴδε Χ. Χαριτωνίδου Ποικίλα Φιλολογικὰ τόμ. Α', σ. 857.

συνεπόμνῦμι, ἐπόμνυμι, ὁρκίζομαι πρὸς τούτοις ἢ προσέτι, ξυνεπόμνυθ' ὑμεῖς ταῦτα πᾶσαι; Ἀριστοφ. Λυσ. 237· μετ' ἀπαρεμ., συνεπόμνυμι μηδὲ ἃ οἱ ἄλλοι στρατηγοὶ ἔλαβον εἰληφέναι Ξεν. Ἀν. 7. 6, 19.

συνεποπτεύω, ἐποπτεύω ὁμοῦ, συνεπιτηρῶ ὡς ἐπόπτης, συνεπιβλέπω, Θεμίστ. 235C.

συνεπορθρίζω, ἐπορθρίζω ὁμοῦ, Μ. Ψελλ. ἐν Σάθ. Μεσ. βιβλ. τ. Ε', σ. 404.

συνεποτρύνω, ἀπὸ κοινοῦ παροτρύνω, παρορμῶ, τοιαῦθ' ὑλακτεῖ, σὺν δ' ἐποτρύνει πέλας ὁ κλεινὸς αὐτῇ ταὐτὰ νυμφίος παρὼν Σοφ. Ἠλ. 299, ἐν τμήσει.

συνεπούλωσις, ἡ, ἡ ἐντελὴς ἐπούλωσις, θεραπεία τοῦ ἕλκους, τὰ δὲ καθαρὰ (ἕλκη) συνεπουλώσεως δεῖται μόνον Ἀριστ. Προβλ. 1. 49.

συνεπουρίζω, βοηθῶ τινα πρὸς τὰ πρόσω, ἐκ μεταφορᾶς οὐρίου ἀνέμου, Ἀριστ. περὶ Οὐρ. 3. 2, 17, πρβλ. π. τὰ Ζ. Ἱστ. 8 13, 9· Παθ., ὁ αὐτ. ἐν Μηχαν. 23, 7

συνεποχέομαι, Παθητ., ἐποχοῦμαι μετά τινος ἐπὶ τοῦ αὐτοῦ ὀχήματος, συνεποχούμενος τῷ ὑπάρχῳ Φωτ. Βιβλ. 475. 22 ἐπίθ. **συνέποχος, ον**, ὁ ἐπὶ τοῦ αὐτοῦ ὀχήματος ὀχούμενος, συνταξιδιώτης, Εὐστ. Πονημάτ. 174. 77.

συνεπτυγμένως, Ἐπίρρ. μετοχ. παθητ. πρκμ., ἐν συμπτύξει, κατὰ τρόπον συνεπτυγμένον, Ψευδοδιονύσ. Ἀρεοπ. 376B.— Κατὰ Ζωναρ. (Λεξικ. σ. 1694) «συνεπτυγμένως, ἡ ωλένως, συνηγμένως».

συνεπῳάζω, ἐπῳάζω, κάθημαι ἐπὶ τῶν ᾠῶν ὁμοῦ, συνεπῳάζει γὰρ τῇ θηλείᾳ Ἀριστ. π. τὰ Ζ. Ἱστ. 5. 27, 4.

συνεπωθέω, ἀπὸ κοινοῦ ὠθῶ τι, συνεπωθεῖ τὸ σιτίον Πλούτ. 2. 1005A, κτλ.· σ. τινα ἐπί τι Ἀρρ. Ἐπίκτ. 3. 7, 28.

φοβεσι-στράτη [ᾰ], ἡ, ἡ φόβον ἐμβάλλουσα εἰς τοὺς στρατούς, ἐπίθετον τῆς Ἀθηνᾶς, Ἀριστοφ. Ἱππ. 1177· — ὡσαύτως **φοβεστράτος**, ἡ φυγὴν τοῖς πολεμίοις ἐμποιοῦσα, Γαλην., ὅστις περαιτέρω μνημονεύει τὸ φ. αἰγὶς ἐκ τοῦ Ἡσιόδου· πρβλ. Ἐτυμ. Μέγ. 797. 54.

φοβέω, (φόβος)· γ' πληθ. προστακτ. φοβεόντων Ἡρόδ. 7. 235· Ἰωνικ. παρατ. φοβέεσκον Ἡσ. Ἀσπ. Ἡρ. 162· — μέλλ. -ήσω Εὐρ. Ἡρακλ. 557, (ἐκ-) Θουκ. 4. 126· — ἀόρ. ἐφόβησα Ἰλ. Ο. 15, Ἀττ.—Παθ. καὶ μέσ., Ἰωνικ. β' ἑνικ. φοβέεαι Ἡρόδ. 1. 39· Ἰωνικ. προστ. φοβέο ἢ φοβεῦ ὁ αὐτ. 1. 9., 7. 52. — Ἐπικ. γ' πληθ. παρατατ. φοβέοντο Ἰλ. Ζ. 41· — μέλλ. φοβήσομαι Χ. 250, Πλάτ., κλπ.· φοβηθήσομαι Πλουτ. Βροῦτ. 40, Λουκ. Ζεῦξις 9· ἀλλ' ἐν Ξεν. Κύρ. 3. 3. 30, Πλάτ. Πολ. 470A, Δημ. 197. 13, φοβήσομαι φέρεται ἤδη κατὰ διόρθωσιν, ὡς ἐπὶ τὸ πολὺ ἐκ τῶν ἀρίστων Ἀντιγράφων γενομένην·— παθ. ἀόρ. ἐφοβήθην ἀεὶ παρ' Ἀττικ., Ἐπικ. γ' πληθ. ἐφόβηθεν ἢ φόβηθεν Ὅμηρ.· μέσ. ἀόρ. ἐφοβησάμην μόνον ἐν τοῖς Ἀνακρεοντ. 31. 11· — πρκμ. πεφόβημαι Ὅμηρ., Ἀττ.· γ' πληθ. -ηνται Πλάτ. Κρατ. 403E· ὑπερσ. ἐπεφοβήμην Ξεν. Ἑλλ. 7. 4, 32· γ' πληθ. -ηντο Θουκ. 5. 5, Ἐπικ. -ήατο Ἰλ. Φ. 206.

Α. Ἐνεργ. παρ' Ὁμήρ. (οὐδαμοῦ ἐν τῇ Ὀδ.) ἀείποτε, τρέπω εἰς φυγήν, Λατ. fugo, [ἴρηξ] ἐφόβησε κολοιοὺς Ἰλ. Π. 583· Ζεὺς καὶ ἄλκιμον ἄνδρα φοβεῖ αὐτόθι 689· Τρώων οὓς ἐφόβησας Χ. 11· φοβῆσαί τε στίχας ἀνδρῶν Ρ. 505· ἐφόβησε δὲ λαοὺς [σὸς δόλος] Ο. 15· σέ γέ φημι.. δουρὶ φοβήσειν Υ. 187· ἅπαξ παρ' Ἡσιόδῳ ἔνθ' ἀνωτ., φοβέεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων. **II.** ἐμποιῶ φόβον εἴς τινα, κάμνω αὐτὸν νὰ φοβηθῇ, ἐκφοβῶ, φοβίζω, πτοῶ, Λατιν. terreo, Ἡρόδ. 7. 235 καὶ Ἀττ.· μὴ φίλους φόβει Αἰσχύλ. Θήβ. 262· ὦ μὴ 'στι ἐρῶντι τάρβος οὐδ' ἔπος φοβεῖ Σοφ. Οἰδ. Τύρ. 296, πρβλ. 1013, Εὐρ. Ἱππόλ. 572· πόνος ὁ μὴ φοβῶν, ἐλεύθερος φόβου, Σοφ. Φιλοκτ. 864· ἡ δύναμις φοβοῦσα Ἀντιφῶν 127. 23· αἱ κάμηλοι ἐφόβουν τοὺς ἵππους Ξεν. Κύρου Παιδ. 7. 1, 48· τὸν Ἀλκιβιάδην ἐφόβουν μὴ.. λέγωσιν Θουκ. 5. 45·—μετὰ δοτ. τοῦ τρόπου, λόγοις Αἰσχύλ. Πέρσ. 215· μεγαληγορίαισι Εὐρ. Ἡρακλ. 357· ξυνέβαινε δὲ τῷ Ἀλκιβιάδῃ τῷ μὲν Τισσαφέρνει τοὺς Ἀθηναίους φοβεῖν, ἐκείνοις δὲ τὸν Τισσαφέρνην, διὰ μὲν τοῦ Τισσαφέρνους νὰ φοβίζῃ τοὺς Ἀθηναίους, διὰ δὲ ἐκείνων τὸν Τισσαφέρνην, Θουκ. 8. 82·—οὕτω μετὰ μετοχ., φ. τινα λέγων Ξεν. Ἱππαρχ. 1. 8· λέγοντες ὡς ἥξει βασιλεὺς Δημ. 185. 5·—ἀπολ., πόνος ὁ μὴ φοβῶν κράτιστος Σοφ. Φιλ. 864· φοβήσαντες κατεστήσαντο τὴν πολιτείαν, διὰ τοῦ φόβου, Πλάτ. Πολ. 551B.

Β. Παθ. καὶ μέσ., παρ' Ὁμ. ἀείποτε, τρέπομαι εἰς φυγήν, φεύγω περίφοβος, φεύγω, ἅπαξ ἐν τῇ Ὀδ., κύνες.. διὰ σταθμοῖο φόβηθεν Π. 163· συχν. ἐν τῇ Ἰλ., ὑπέμειναν ἀολλέες, οὐδ' ἐφόβηθεν Ε. 498· τοὶ δ' ἐφόβηθεν.. θεσπεσίῳ ὀμάδῳ Π. 295· κὰμ μέσσον πεδίον φοβέοντο, βόες ὣς ἅς τε λέων ἐφόβησε Λ. 172· — συχν. ἐν τῇ μετοχ., μή καὶ πεφοβημένος ἔλθῃς Κ. 510, πρβλ. Ο. 4, Φ. 606· φοβηθεὶς δύσεθ' ἅλος κατὰ κῦμα, τραπεὶς εἰς φυγήν, Ζ. 135· βῆ δὲ φοβηθεὶς Χ. 137·— ὑπό τινος φοβέεσθαι, τρέπεσθαι εἰς φυγήν, Θ. 149· ὑπό τινι Ο. 637· καὶ μετ' αἰτ., φοβεῖσθαί τινα Χ. 250.—Ὁ Ὅμ. μεταχειρίζεται τὸ ῥῆμα τοῦτο ὡς καὶ τὸ ῥῆμα φέβομαι, μόνον ἐπὶ ταύτης τῆς σημασίας, Lehrs Ἀρίσταρχ. σ. 89, Σχόλ. εἰς Ἰλ. Ε 223, Ζ. 41., Φ. 606· καὶ τοιαύτη ἴσως εἶναι ἡ σημασία ἐν Ἡροδ. 9. 70. **II.** καταλαμβάνομαι ὑπὸ φόβου, «φοβοῦμαι», Ἡρόδ. καὶ Ἀττ.— Συντακτικῶς τίθεται, **1)** ἀπολ., πεφόβημαι πτηνῆς ὡς ὄμμα πελείας Σοφ. Αἴ. 139· φοβηθέντες ᾤχοντο φεύγοντες, καταληφθέντες ὑπὸ φόβου ἀπῆλθον φεύγοντες, Αἰσχίν. 7. 3, πρβλ. Πλάτ. Ἀπολ. 29B, κλπ.·— μετὰ δοτ. τρόπου, φ. μάστιγι Εὐρ. Ῥῆσ. 37·— μετὰ συστοιχ. αἰτ., μ. φόβον ὁ αὐτ. ἐν Τρῳ. 1166, πρβλ. Ἰκ. 548· φόβους Πλάτ. Πρωτ. 360B. **2)** μετὰ ἐμπροθέτων πτώσεων, φ. ἀπό τινος, φοβοῦμαί τινα (πιθανῶς Ἑβραϊσμός), Ἑβδ. (Λευϊτ. ΚϚ', 2, Ἱερεμ. Α', 8), Εὐαγγ. Ματθ. ι', 28, κ. Λουκ. ιβ', 4· ἔκ τινος, ἔκ τινος αἰτίας, Σοφ. Τραχ. 671· εἴς ἢ πρός τι, καταλαμβάνομαι ὑπὸ φόβου διά τι πρᾶγμα, ὁ αὐτ. ἐν Ο. Τυρ. 980, Τραχ. 1211, πρβλ. Λουκ. Προμηθ. εἶ ἐν λ. 4· ἐπί τινι Λουκ. Ἐνάλ. Διάλ. 14. 4·— ἀλλά, φ. ἀμφί τινι, φοβοῦμαι περί τινος, Ἡρόδ. 6. 62· περί τινος Ξεν. Κύρ. Παιδ. 5. 2, 35, κλπ.· περί τινος Θουκ. 2. 90, Πλάτ. Εὐθύδ. 275B (τι περί τινι Θουκ. 3. 123)· ὑπέρ τινος Ἀνδοκ. 33. 43, Πλάτ. Πολ. 387C· περί τι ὁ αὐτ. ἐν Κρατ. 404E· περί τινος ὁ αὐτ. ἐν Ἀπολ. 29B· πρός τινος Σοφ. Τραχ. 150. **3)** μετ' ἐξηρτημένης προτάσεως, φοβεῖ-

σθαι μή.., Λατ. vereri ne.., Εὐρ. Ὀρ. 770, Ἀριστοφ. Εἰρ. 606, Θουκ., κλπ.· (πρβλ. **μὴ** Β. 8)· οὕτω, φ. ὅπως μή.. Θουκ. 6. 13, Ξεν. Ἀπομν. 2. 9, 2· φ. μὴ οὐ αὐτόθι 1. 2, 7, Οἰκον. 16, 6 (πρβλ. **μὴ οὐ** I)· λίαν συχνάκις μετ' αἰτιατικῆς ἑπομένης προτάσεως διὰ τοῦ **μή**, ταῦτ' οὖν φοβοῦμαι μή.. Σοφ. Τραχ. 550, πρβλ. Ξεν. Ἀνάβ. 7. 1, 2, Πλάτ.· ὡσαύτως, φ. ὑπέρ τινος, μή.. Πλάτ. Πολ. 387C· ἢ μετ' ἀπαρ. ἑπομ. προτάσεως διὰ τοῦ **μή**, φοβοίμην ἂν τῷ ἡγεμόνι ἕπεσθαι, μὴ ἀγάγῃ Ξενοφ. Ἀνάβ. 1. 3, 17, πρβλ. Πλάτ. Θεαίτ. 134Ε, Γοργ. 457Ε· — ὡσαύτως, φ. ὅτι.., ὡς.., οὐχὶ ὡς τὸ Λατ. vereri ut.., ἀλλὰ = φ. μή.., ἐπὶ θετικωτέρας ἐννοίας, Ξεν. Κύρ. Παιδ. 3. 1, 1· φ. τόδε, ὅτι.., Θουκ. 7. 67, πρβλ. Πλάτ. Γοργ. 479Α· διὰ τοῦτο φ. τινας, ὅτι.., Ἰσοκρ. 128C· σπανιώτερον, φ. ὡς.. Ξεν. Κύρ. Παιδ. 5. 2, 12· φ. πῶς χρή.. αὐτόθι 4. 5, 19 φ. εἰ δεήσει.. αὐτόθι 6. 1, 17. 4) μετ' ἀπαρ. συνάρθρου, φ. τὸ ἀποθνῄσκειν = φ. θάνατον, Πλάτ. Νόμ. 522Ε, κλπ.· ἀλλὰ συνηθέστερον μετὰ μόνου ἀπαρ., φοβοῦμαι νὰ πράξω τι, Αἰσχύλ. Χο. 46, Σοφ. Αἴ. 254, Εὐρ. Ἴων 628, Θουκ., κλπ.· σπανίως μετὰ τοῦ **μὴ** παρεμβαλλομένου, φ. μὴ ἐξοστρακισθῆναι Πλουτ. Περικλ. 7. 5) μετ' αἰτ. προσώπου, κατέχομαι ὑπὸ φόβου ἐνώπιόν τινος, φοβοῦμαι, τρέμω τινά, δαίμονας τοὺς ἐνθάδε Αἰσχύλ. Ἱκ. 893· στρατὸν Ἀργείων Σοφ. Φιλ. 1250· τοὺς ἄνω θεοὺς Πλάτ. Νόμ. 927Α, πρβλ. Ἰσοκρ. 5Β, κλπ.· τὰς κύνας Ξεν. Κυνηγ. 5. 16, κλπ. 6) μετ' αἰτ. πράγμ., φοβοῦμαί τι ἢ περί τινος, βρόμον Αἰσχύλ. Θήβ. 476· τὸ προσέρπον Σοφ. Αἴ. 227· μέμψιν Εὐρ. Ἄλκ. 1057· τὸ σῶμα Πλάτ. Φαῖδρ. 239C· δουλείαν, δεσμὸν κλπ. Ξεν. Κύρ. Παιδ. 3. 1, 24, κλπ.· ἴδε ἀνωτ. II 3. 7) μετὰ μετοχ., προδιδοὺς ἐφοβήθη Λυκοῦργ. 150. 6, πρβλ. **δείδω** ἀπ' ἀρχῆς μέχρι τέλους. —Ἴδε Κόντου Γλωσσ. Παρατηρ. σ. 65.

φόβη, ἡ, θρίξ, πῶς γὰρ ἐλπίσω ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης; Αἰσχύλ. Χο. 188· βοστρύχων ἄκρας φόβας Σοφ. Ἠλ. 449, πρβλ. Οἰδ. ἐπὶ Κολ. 1465· δρακόντων φόβαι, δηλ. οἱ ὀφιώδεις πλόκαμοι τῆς Γοργόνος, Πινδ. Π. 10. 75.
2) ἡ χαίτη τῶν ἵππων, Σοφ. Ἀποσπ. 587. 7 καὶ 10, Εὐρ. Ἄλκ. 429, Βάκχ. 1186. II. μεταφορ., ὡς τὸ **κόμη**, Λατ. coma, οἱ πλήρεις φύλλων κλῶνες τῶν δένδρων, τὸ φύλλωμα, τῶν δένδρων, Σοφ. Ἀντ. 419, Εὐρ. Ἄλκ. 172, Βάκχ. 684, κλπ. ἴων φόβαι, σωρὸς ἴων, Πινδ. Ἀποσπ. 45. 18 εὐπέταλοι φόβαι Ἀνθ. Παλατ. 6. 158· ἐπὶ τῶν πτιλοειδῶν κορυφῶν τῶν καλάμων, Θεοφρ. π. Φυτ. Ἱστ. 8. 3, 4, πρβλ. 4. 4, 10. (Περὶ τῆς πιθανῆς σχέσεως τῆς λέξεως ταύτης μετὰ τοῦ **σόβη**, ἴδε Curt. Gr. Et. ἀρ. 574).

φόβημα, τό, φόβητρον, ἐγχέων φόβημα δαΐων Σοφ. Ο. Κ. 699. 2) ἀπολ., τρόμος, Ἀκύλ. Π. Δ. (Ψαλμ. Θ', 21, Δευτερ. Δ', 34).

φοβητέον, ῥημ. ἐπίθ. τοῦ **φοβέομαι**, δεῖ φοβεῖσθαι, Πλάτ. Πολ. 452Β, Νόμ. 891Α, κλπ. 2) **φοβητέος, α, ον**, ὃν δεῖ φοβεῖσθαι, αὐτόθι 746Ε.

φοβητικός, ή, όν, ὑποκείμενος εἰς φόβον, δειλός, Ἀριστ. Πολιτ. 8. 7, 5.

φοβητός, ή, όν, ὃν φοβεῖταί τις, ἐπίφοβος, χῶρος ... οὐκέτι φοβητὸς ἡμῖν Σοφ. Φιλ. 1154.

φόβητρον, τό, τὸ φόβου ποιητικόν, τὸ προξενοῦν φόβον, φοβερὸν πρᾶγμα, Ἑβδ. (Ἡσαΐ. ΙΘ', 17)· ἀλλαχοῦ ἀεὶ ἐν τῷ πληθ., φοβερά, τρομερὰ πράγματα, Ἱππ. 303. 16, Πλάτ. Ἀξίοχ. 367Α, Εὐαγγ. κ. Λουκ. κα', 11· Τισιφόνης τὰ φόβητρα, πιθαν. τραγικὰ προσωπεῖα τῶν Ἐρινύων, Ἀνθ. Π. 11. 189.

φοβήτωρ, ὁ, ὁ φοβῶν, Νικ. Χων. ἐν Σάθ. Μεσ. βιβλ. τόμ. Α', σ. 85.

φοβό-διψος, ον, = **ὑδροφόβος**, ὁ πάσχων ἐξ ὑδροφοβίας, ὡς ὁ ὑπὸ λυσσῶντος κυνὸς δηχθείς, Cael. Aurel. M. A. 3. 9.

φοβο-ειδής, ές, φοβερός, διάφ. γραφ. ἐν Πεμπέλ. παρὰ Στοβ. 461. 8.

φοβο-θεΐα, ἡ, = **δεισιδαιμονία**, Ἡσύχ., ἴδε Albert εἰς Ἡσύχ. τ. 1, σ. 908.

φοβο-ποιέω, ἐμποιῶ φόβον, Σχόλ. εἰς Ἡσ. Ἔργ. κ. Ἡμ. 1.

φόβος, ὁ, (φέβομαι) φυγή, Λατ. fuga, ἡ μόνη παρ' Ὁμήρῳ σημασία τῆς λέξεως (Σχόλ. εἰς Ἰλ. Λ. 71, ἴδε **φοβέω** Β. I)· μόνον ἅπαξ ἐν τῇ Ὀδ., οἱ δ' ἔσχοντο φόβου Ω. 57· συχν. ἐν τῇ Ἰλ., Δαναῶν γίνετο ἰαχή τε φ. τε Ο. 396· φύζα, φόβου κρυόεντος ἑταίρη Ι. 2· πρῶτος Πηνέλεως ἦρξε φόβοιο Σ. 396· ἐς φόβον ἀνδρῶν Ο. 310· — οὕτω, φόβονδε = **φυγάδε**, ἑστάμεναι κρατερῶς, μηδὲ τρωπᾶσθε φόβονδε Ο. 666· φόβονδ' ἔχε μώνυχας ἵππους Θ. 139· μή τι φόβονδ' ἀγόρευε, μὴ συμβούλευε φυγήν, Ε. 252· ἀΐξαντα φόβονδε Ρ. 579· — ὁ **Φόβος** προσωποποιεῖται ὡς υἱὸς τοῦ Ἄρεως, Ν. 299, πρβλ. Ο. 119· Δεῖμός τε Φόβος τε Λ. 37, πρβλ. Δ. 440· οὕτως ἐν Ἡσ. Θεογ. 934, Αἰσχύλ. Περσ. 45. II. μέγας καὶ ἀκατάσχετος φόβος, πανικὸς φόβος, οἷος ὁ κινῶν εἰς φυγήν, στρατῷ φ. ἐμβάλλειν Ἡρόδ. 7. 10, 5· ἐν τῷ γινομένῳ φ. ὁ αὐτ. 9. 69·—εἶτα καθόλου, φόβος, τρόμος, κυρίως δὲ ἡ ἐξωτερικὴ ἐκδήλωσις αὐτοῦ, ὅθεν καὶ διαστέλλεται ἀπὸ τοῦ δέος (ἴδε ἐν λέξει **δέος**), ταρβὸς ὀρθόθριξ φ. Αἰσχύλ. Χο. 32· διάτορος φ. ὁ αὐτ. ἐν Πρ. 181· ταρβοσύνῳ φόβῳ ὁ αὐτ. ἐπὶ Θήβ. 240· νεανικὸς Εὐρ. Ἱππ. 1201· συνημμένον μετὰ τῶν λέξεων **δέος** καὶ **δεῖμα**, ἴδε τὰς λέξ.· ἐν ἀντιθέσει πρὸς τὸ **θάρσος**, Πλάτ. Νόμ. 644C, πρβλ. Αἰσχύλ. ἐπὶ Θήβ. 270· ἐνίοτε ἐπὶ ἠπιωτέρας σημασίας, = δισταγμός, ἀμφιβολία, Πλάτ. Φαίδων 101Β, Σοφιστ. 268Α.— Συντάσσεται α) τιθεμένου τοῦ ἀντικειμένου τοῦ φόβου κατὰ γενικ., τὸ φοβεῖσθαι ἢ τρέμειν τι, φόβῳ.. Περσικοῦ στρατεύματος τοῦδε Αἰσχύλου Περσ. 115, Θουκ. 3. 54, κλπ.· φ. τοῦ στρατεῦσαι Ξεν. Ἀν. 3. 1, 18 μετὰ διπλ. γεν., ὀμμάτων εἰληφότας φόβον.. τῆς ἐμῆς ἐπεισόδου Σοφ. Οἰδ. Κολ. 729·—οὕτω μετὰ προθ., φ. ἀπό τινος Ξεν. Ἀν. 7. 2, 37 (διάφορ. γραφ. ὑπό), Κύρου Παιδ. 3. 3, 53, κλπ.· ἔκ τινος Αἰσχύλ. Χο. 930, Ξεν.· πρός τινος Σοφ. Ἠλ. 784· πρός τινα Δημ. 204. 19., 798. 3·— οὕτω, φ. περί τινος, ὡς πρός τι, Θουκ. 4. 88, Πλάτ.· ὑπέρ τινος Θουκ. 7. 41· τὸν ἐκ τῶν Ἑλλήνων εἰς τοὺς βαρβάρους φ. Ξεν. Ἀν. 1. 2, 18· τῷ καθ' ἑαυτὸν φ., ἐκ προσωπικοῦ ἢ ἰδιαιτέρου φόβου, Δημ. 341. 21·—ἐκ τῆς φράσεως, φ. τοῦ στρατεύειν, καὶ τῶν ὁμοίων προῆλθεν ἡ χρῆσις τῆς λέξεως μετ' ἀπαρ. **φ. στρατεύειν**. Ξεν. Ἀν. 2. 4, 3· φόβῳ εἰσορᾶν, ἐκ φόβου τοῦ βλέπειν, Εὐρ. Ἰφ. ἐν Ταύρ. 1342·— περὶ τοῦ: τεθνάναι τῷ φόβῳ τινά, ἴδε **θνήσκω** I. 2, **δέος** I. 6) μετὰ ῥημάτων, φόβον τεύχειν Αἰσχύλ. Πρ. 1090· φ. βλέπειν ὁ αὐτ. ἐπὶ Θήβ. 498, πρβλ. 386· ποιεῖν τινι Ξεν. Ἀν. 1. 8, 18· παρέχειν Εὐρ. Ἑκάβ. 1113, Ξεν., κλπ.· παρασκευάζειν Δημ. 1374. 13· φόβον ἐμβάλλειν, ἐντιθέναι τινί, Λατ. metum incutere alicui, Ξεν. Κύρ. Παιδ. 8. 7, 18, Ἀνάβ. 7. 4, 1· ἐνεργάζεσθαί τινι Ἰσοκρ. 147C, 226C· φόβῳ διδόναι τινὰ Πινδ. Π. 5. 81· —ἐπὶ τοῦ αἰσθανομένου τὸν φόβον, τοῦ κατεχομένου ὑπὸ φόβου, φόβον λαμβάνειν, ἔχειν Εὐρ. Ἠλ. 39, Ξεν. Ἱέρ. 11. 11· τρέφειν Σοφ. Τραχ. 28·— μετὰ συστοίχ. αἰτ., φόβον φοβεῖσθαι, δεδοικέναι Πλάτ. Πρωτ. 360Β, Εὐρ. Ἱκ. 548· τὸν σὸν οὐ ταρβῶ φ., δὲν φοβοῦμαι κατὰ τὸν σὸν φόβον, δηλ. δὲν φοβοῦμαι ὡς σύ, Σοφ. Φιλ. 1251· οὕτω, Ταντάλου φ. φοβεῖσθαι Σχόλ. εἰς Εὐρ. Ὀρ. 6 — ὡσαύτως, ἐς φ. καθίστασθαι Ἡρόδ. 8. 12, Θουκ. 2. 81· ἔρχεσθαι Πλάτ. Νόμ. 635C· ἐν φ. γενέσθαι ὁ αὐτ. ἐν Πολ. 578Ε· ὡσαύτως, φόβος ἔχει με Αἰσχύλ. Ἀγ. 1243, Εὐρ. Ὀρ. 1255· εἰσέρχεται, ἐπέρχεταί με φ. αὐτόθι. 1321, Σοφ. Φιλ. 1231· φ. ἐμπίπτει μοι Ξεν. Ἀν. 2, 2, 19, κλπ.· διὰ φόβου ἔρχομαι, γίγνομαι Εὐρ. Ὀρ. 757, Πλάτ. Νόμ. 791Β·— ἀντίθετα πᾶσι τούτοις εἶναι τά, φόβον λύειν Αἰσχύλ. ἐπὶ Θήβ. 270, Εὐρ. Ὀρ. 101· ἐξαιρεῖν Ἰσοκρ. 19C· ἀπελαύνειν τινὶ Ξεν. Κ. Παιδ. 4. 2, 10· φόβου ἀπαλλάττεσθαι αὐτόθι 5. 2, 32· φόβου ἐκλύεσθαί τινα Σοφ. Οἰδ. Τύρ. 1002· φόβους ἀπολύεσθαι Ἀριστ. Ρητ. 3. 14, 10· φόβου μεθεῖσα (Ἕρμανν. φόβους) Εὐρ. Ἑλ. 555· φόβου ἔξωθεν εἶναι ὁ αὐτ. ἐν Ἠλ. 901·—φόβος [ἐστί], μετ' ἀπαρ., Ξεν. Ἀν. 2. 4, 3· μή.. ὁ αὐτ. ἐν Ἀπομν. 2. 1, 25· ὅπως μή.. Πλάτ. Συμπ. 193Α· ἀλλά, φόβος εἰ πείσω, vereor ut.., Εὐρ. Μήδ. 184· οὕτω, φόβος ἔχει με ὅπως χρή.. Ἡρόδ. 4. 115· φόβον ἔχειν τι ὡς.., παρέχει φόβον ὅτι.., Πλάτ. Σοφ. 268Α· φόβος ἦν ὥστε τέγξαι Εὐρ. Ἰ. ἐν Ταύρ. 1380.—Ἐπιρρηματικαὶ χρήσεις: φόβῳ, ἐκ φόβου, διὰ φόβον, ἕνεκα φόβου, Αἰσχύλ. Ἱκ. 786, Θουκ. 240, Πλάτ., κλπ.· οὕτω μετὰ προθέσεων, διὰ φόβον, διὰ τὸν φ. Ξεν. Ἱέρων 1. 38, Κύρ. Παιδ. 3. 1, 21· ἐκ φόβου Σοφ. Οἰδ. Κολ. 887· μετὰ φόβων Ἰσοκρ. 20Α· ἄρχειν ξὺν φόβοισι Σοφ. Οἰδ. Τύρ. 585· ὑπὸ τοῦ φ. ἀποθνήσκειν Ξεν. Κύρ. Παιδ. 3. 1, 25 ποιητικ., ἀμφὶ φόβῳ (ἴδε **ἀμφί** Β IV. 2)·—ὡσαύτως ἐν τῷ πληθ., οὐ μόνον παρὰ ποιηταῖς, οἷον Πινδ. Ν. 9. 64, Αἰσχύλ. Θήβ. 134, Σοφ. Αἴ. 531, κλπ.· ἀλλὰ καὶ παρὰ τοῖς πεζογράφοις, φόβους καὶ δείματα Θουκ. 7. 80· πόνους καὶ φ. Πλάτ. Νόμ. 635C· κινδύνους καὶ φ. ὁ αὐτ. ἐν Θεαιτ. 173Α. 2) πρᾶγμα προξενοῦν φόβον, Σοφ. Οἰδ. Κολ. 1652· φόβος ἀκοῦσαι, τρομερὸν πρᾶγμα τὸ νὰ ἀκούσῃ τις, Ἡρόδ. 6. 112·— πληθ., **φόβοι**, ὡς τὸ Λατιν. terrores, ἣν φόβους λέγῃ Σοφ. Οἰδ. Τύρ. 917· πολλῶν φ. προσαγομένων Ξεν. Ἀν. 4. 1, 23.

φοιβάζω, μέλλ. **-άσω**, (Φοῖβος) μαντεύομαι, προφητεύω, προφέρω λόγους προφητικούς, ἀπολ., Ἀνθ. Παλ. 9, 525, 21· μετ' αἰτ., δαφνηφάγων φοίβαζεν ἐκ λαιμῶν ὄπα Λυκόφρ. 6· Κασσάνδρη φοίβαζε μύθους Ἀνθ. Π. 9. 191. 2) ἐμπνέω, πάθος φοιβάζον τοὺς λόγους Λογγῖν. 8. 4.—Παθ., Ἡρόδ. 2. 22. II. = **φοιβάω** I, Λυκόφρ. 731, 875, 1166.

φοιβαίνω, «φοιβᾶναι· λαμπρῦναι, μαντεύσασθαι, κοσμῆσαι, καθᾶραι, ἁγνίσαι, καὶ φοιβάσαι ὁμοίως» Ἡσύχ.· «φοιβᾶναι, τὸ καθᾶραι, ὡς τὸ φοιβανάτω δέ τις ἀσάμινθον» Ἐτυμ. Μέγ. 797, 6.

φοιβάς, **άδος**, ἡ, ἱέρεια τοῦ Φοίβου, καθόλου, γυνή, θεόπνευστος, προφῆτις, Εὐρ. Ἑκ. 827, πρβλ. Τιμοθ. Ἀποσπ. 1· ὡσαύτως ὡς θηλ. ἐπίθ., = **φοιβάζουσα**, Πλούτ. 2. 22Α, 170Α.

φοίβασμα, τό, προφητεία, χρησμός, τὸ φοίβασμα καὶ κόμψευμα τῶν τερατολογούντων Κ. Μανασσ. Χρον. 3521, Θεόδ. Πρόδρ. ἐν Notit. Mss τ. 8, σ. 139.

φοιβαστήριος, α, ον, = **καθαρτήριος**, «φοιβαστήρια, καθαρτήρια» Θεογνώστου Κανόνες 25. 32.

φοιβαστικός, ή, όν, ὁ ὑπὸ τοῦ Φοίβου ἐμπνεόμενος, μαντευτικός, ἐνθουσιώδης, Λογγῖν. 13. 2· μετὰ γεν., φ. χρησμῶν, προφέρων χρησμούς, χρησμοδοτῶν, Πλουτ. Ρωμ. 21.

φοιβάστρια, ἡ, μαντεύτρια, προφῆτις, Λυκόφρ. 1468.

φοιβάω, καθαίρω, ἁγνίζω, χεῖρας φοιβήσασα μύροις Θεόκρ. 17. 134, πρβλ. Ἀπολλ. Ρόδ. Β. 302, Καλλ. Λουτρ. Παλλάδ. 11. **II.** = φοιβάζω I, Σχόλ. εἰς Σοφ. Αἴ. 322, Ἡσύχ.

Φοίβειος, α, ον, ὡσαύτως ος, ον, Εὐρ. Ἴων 461· Ἰωνικ. **Φοιβήϊος**, η, ον (ὡσαύτως, ἐν Εὐρ. Ι. Α. 756 (Λυρ.), πρβλ. Ἀχίλλειος)·— ὁ εἰς τὸν Φοῖβον ἀνήκων ἢ ἱερὸς τοῦ Φοίβου, Ἡρόδ. 6, 61, Εὐρ. Φοίν. 225, Ἀποσπ. 859·— θηλυκ. **Φοιβηΐς**, ίδος, Ἀνθ. II. 9. 201, κλπ.

Φοίβη, ἡ, Λατ. Phoebe, μία τῶν θυγατέρων τοῦ Οὐρανοῦ καὶ τῆς Γῆς τεκοῦσα ἐκ τοῦ Κοίου τὴν Λητὼ καὶ τὴν Ἀστερίην, Φοίβην τε χρυσοστέφανον Ἡσ. Θεογ. 136· Φοίβη δ' αὖ Κοίου πολυήρατον ἦλθεν εἰς εὐνήν· κυσαμένη δὴ ... Λητὼ κυανόπεπλον ἐγείνατο .. γείνατο δ' Ἀστερίην αὐτόθι 404, Αἰσχύλ. Εὐμ. 7· κατ' ἄλλους ἐκαλεῖτο οὕτως ἡ μήτηρ τοῦ Φοίβου, ἴδε ἐν λέξ. **Φοῖβος**, Αἰσχύλ. Εὐμ. 8·— παρὰ δὲ μεταγεν. **Φοίβη** εἶνε σύνηθες ἐπώνυμον τῆς Ἀρτέμιδος, Οὐεργ. Γεωργ. 1. 341, κλπ.— Πρβλ. **Φοῖβος**.

φοιβητεύω, εἶμαι **φοιβητής**, «φοιβητεύειν· χρησμῳδεῖν» Ἡσύχ.

φοιβητής, οῦ, ὁ, προφήτης, θεόπνευστος, Μανέθων 1. 237, Συλλ. Ἐπιγρ. 4990,-96.

φοιβητός, ή, όν, ῥημ. ἐπίθ., θεόπνευστος προφητικός, προλέγοντα φοιβητοῖς μύθοισιν ἀποφθεγκτήρια κρυπτὰ Μανέθων 4. 550.

φοιβολάλος μάντις, ἡ. φοιβολάλος τρίπους, προφητικός, Ψευδοκαλλισθ. Α', σ. 45.

φοιβήτρια, ἡ, = **καθάρτρια**, ἡ καθαίρουσα, ἐξαγνίζουσα, Ἡσύχ.· ἡ Φ., ἡ Ἶσις, Συλλ. Ἐπιγρ. 4987.

φοιβήτωρ, ορος, ὁ, = **φοιβητής**, Ὀρφ. Λιθ. 383.

Φοιβόληπτος, ον, κατεχόμενος ἢ ἐμπνευσμένος ὑπὸ τοῦ Φοίβου, τὴν φοιβόληπτον χελιδόνα. «ἑαυτὴν λέγει ἡ Κασσάνδρα, τὴν τῷ θεῷ ἀνιερωμένην» (Σχόλ.), Λυκόφρ. 1460, Πλουτ. Πομπ. 48 —Ἰων. **Φοιβό-λαμπτος**, Ἡρόδ. 4. 13.

φοιβολόγος Τειρεσίας, προφητικός, Ψευδοκαλλισθ. Α', 46, σ. 52, ἔκδ. Mül.

Φοιβο-νομέομαι, Παθ., κατέχομαι ὑπὸ τοῦ Φοίβου, δηλ. εἶμαι ἁγνός, καθαρός, Θεσσαλικὴ λέξις παρὰ Πλουτ. 2. 393C.

φοῖβος, η, ον (ἴδε ἐν τέλει)·— καθαρός, ἁγνός, διαυγής, λαμπρός, ὕδωρ Ἡσ. Ἀποσπ. 78, Λυκόφρ. 1009· ἡλίου φοίβη φλογὶ Αἰσχύλ. Πρ. 22· ὄνειρον Ἀλκμὰν 45. **II.** ὡς κύρ. ὄνομα **Φοῖβος**, ὁ, ὁ καθαρός, ὁ ἁγνός, ὁ λάμπων, ἀρχαῖον ἐπίθετον τοῦ Ἀπόλλωνος, ὅπερ κατέστη κύρ. ὄνομα (πρβλ. **Φοίβη**)· ὁ Ὅμηρος συνήθ. συνάπτει **Φοῖβος Ἀπόλλων**, ἀλλ' ἔχει καὶ μόνον **Φοῖβος** Ἰλ. Α. 443., Ο. 221, κ. ἀλλ.· σπανίως ἀντιστρέφεται ἡ τάξις **Ἀπόλλων Φοῖβος** Π. 68, Ἡσ. παρὰ τῷ Σχολ. Ὀδ. Δ. 232 Ἀλλὰ τὸ Ὁμηρικὸν **Φοῖβος** δὲν σημαίνει τὸν θεὸν Ἥλιον, διότι τὸν χαρακτῆρα τοῦτον προσέλαβεν ὁ Ἀπόλλων πολλῷ ὕστερον· τὸ ὄνομα **Φοῖβος** ἀναφέρεται μᾶλλον εἰς τὴν λαμπρότητα τῆς νεότητος, ἥτις ἦτο πάντοτε τὸ πρώτιστον χαρακτηριστικὸν τοῦ θεοῦ τούτου, πρβλ. Müller Dor. 2. 6, 7. (Πιθαν. ἐκ τοῦ **φάος**, **φαῦος** (ὅ ἐστι **φάϜος**), ὥστε τὸ β παριστάνει Ϝ· ἐντεῦθεν φοιβάω, φοιβάζω, ἅπερ σημαίνουσιν ὁτὲ μὲν τὸ καθαίρω, ὁτὲ δὲ τὸ προφητεύω.)

φοῖδες, ἴδε ἐν λ. **φωΐς**.

φοινᾱ, ἡ, Λακ. ἀντὶ **θοίνη**, ὡς **φὴρ** ἀντὶ **θήρ**, Ἀλκμάν. 11

φοινεικοφόρος, ὁ, ὄνομα ὑπηρετῶν ἐν ἱεροῖς, Ἐπιγρ. Τεγέας, L. et F. 341c.

φοινήεις, εσσα, εν, (**φοινός**) ἐρυθρὸς ὡς αἷμα, κατακόκκινος, φοινήεντα δράκοντα φέρων ὀνύχεσσι πέλωρον, «φοινήεις δράκων ἢ ὁ μέλας ἢ ὁ φόνῳ ἤγουν αἵματι βεβαμμένος, ἢ ὁ φόνιος» (Εὐστ.), Ἰλ. Μ. 202, 220· αἷμα Μόσχ. 2. 58· αἱματόεις, αἱματηρός, ἄσπις Νικ. Θηρ. 158·— πρβλ. **δαφοινός**.

φοίνιγμα, τό, τὸ κόκκινον μέρος, Λιβάν. 4. 1072.

φοινιγμός, ὁ, κοκκίνισμα τοῦ δέρματος δι' ἐπιθέσεως ἐρεθιστικῆς τινος ὕλης, ἐκδόριον, τὸ διὰ τῶν ἰσχάδων καὶ νάπυος φοινιγμῷ χρῆσθαι Γαλην.

φοινῑκ-άνθεμος, ον, ὁ ἔχων ἄνθη ἐρυθρά, φοιν. ἔαρ, Λατ. purpureum ver, Πινδ. II. 4. 114.

Φοινικάρχης, ὁ, ὄνομα [ἱερατικοῦ;] ἀξιώματος, Ἰουστινιαν Νεαρὰ ΠΘ', 15. Ὅμοια ὀνόματα εἶναι τὰ **Ἀσιάρχης**, **Ἑλλαδάρχης**, **Βιθυνιάρχης**, **Φωκάρχης**, κλπ., ἴδε **Γαλατάρχης**, Συναγωγὴ Λέξ. Ἀθησ. Κουμανούδη.

Φοινικαρχία, ἡ, (ἴδε τὸ προηγ.), Cod. Iustin. V. 27, 1.

φοινῑκάω, = **φοινίσσω**, Γλωσσ.

φοινῑκ-είμων, ον, (εἷμα) ὁ ἔχων ἔνδυμα ἐρυθροῦ χρώματος, ἴδε **φιλοκονίμων**.

φοινίκειος [ῑ], ον, ὁ ἀνήκων εἰς φοίνικα, ὁ ἐκ τοῦ δένδρου φοίνικος, οἶνος Διόδ. 1. 91, Σουΐδ.· — σπανίως εὕρηται ἄλλως ἢ ἐν τῷ Ἰων. τύπῳ **φοινικήϊος**.

Φοινῑκ-έλικτος, ὁ, = **ἀπατηλός**, ποιητὴς παρ' Ἡσυχ. (ἔνθα φοινικελίκτης), πρβλ. Φοῖνιξ ἀνὴρ ἀπατήλια εἰδὼς Ὀδ. Ξ. 288 πρβλ. Meineke κωμ. Ἀποσπ. 5. σ. 120.

φοινίκεος [ῑ], έα, εον, (**φοῖνιξ** Α. 1. 2)·— πορφυροκόκκινος ὡς τὸ βαθὺ κόκκινον χρῶμα τοῦ ἄνθους τῆς ῥοιᾶς, καθόλου δὲ ἐρυθρός, κόκκινος, Λατιν. puniceus, Σιμωνίδ. 23 ῥόδα Πινδ. Ι. 4 (3). 30· προμαχεῶνες Ἡρόδ. 1. 98· εἷμα ὁ αὐτ. 2. 132, πρβλ. 7. 76., 9. 22.— Ἀττ. συνῃρ. **φοινῑκοῦς**, ῆ, οῦν, Ξεν. Ἀν. 1. 2, 16, Κύρ. Παιδ. 7. 1, 2, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 8. 3, 5· τὸ φοινικοῦν, τὸ βαθὺ ἐρυθρὸν χρῶμα, Ἀριστ. Μετὰ τὰ Φυσ. 9. 7. 2, κ. ἀλλ.· ἧττον λαμπρὸν ἢ τὸ **ἁλουργές**, ὁ αὐτ. π. Χρωμ. 2, 2 κἑξ.· πρβλ. **ἀργυροῦς**, **χαλκοῦς**, **χρυσοῦς**, ἐκ τοῦ **ἀργύρεος**, κλπ. Πολλαχοῦ οἱ ἀντιγραφεῖς εἰσήγαγον τὴν γραφήν, **φοινικᾶ** ἀντὶ **φοινικᾶ**, π. χ. Διοσκ. 2. 207. Δίων Κάσσ. 40. 18, πρβλ.. Σουΐδ. ἐν λ., Λοβέκ. εἰς Φρύν. 148, ΙΙ ραλ. 286.— Πρβλ. **φοῖνιξ** Β, **φοινίκιος**.

Φοινίκη [ῑ], ἡ, ἡ χώρα τῶν Φοινίκων, Ὀδ. Δ. 83, Ἡρόδ., καὶ Ἀττ.· πρβλ. **Φοῖνιξ**. **II.** Φοινίκας ἀντήρη χώραν, τὴν ἐν Καρχηδόνι ἀποικίαν τῶν Φοινίκων, Εὐρ. Τρῳ. 221.

φοινῑκήϊος, η, ον, Ἰων. ἀντὶ **φοινίκειος**, = **φοινίκινος** I, ὁ ἐκ φοίνικος ἢ φοινικοδένδρου («χουρμαδιᾶς»), ἐσθὴς φοινικηίη, ἔνδυμα ἐκ φύλλων φοίνικος, Ἡρόδ. 4 43· φ. οἶνος, οἶνος ἐκ φοινίκων («χουρμάδων»), αὐτόθι 2. 86, κλπ.· οὕτως ἐν 1. 194· ὁ Valla διώρθωσε βίκους φοινικηίου .. οἴνου (ἀντὶ -ηίους)·— φοινικηίη νοῦσος = **ἐλεφαντίασις**, Ἱππ. παρὰ Γαλην. **II.** ὁ ἐκ Φοινίκης, **Φοινικικός**, Ἡρόδ. 3. 37., 8. 90 καὶ 97 Φοινικήια γράμματα, ὁ ἀρχαῖος Ἰων. ἀλφάβητος, ὁ αὐτ. 5 58, πρβλ. Συλλ. Ἐπιγρ. 3044. 37, καὶ Böckh ἐν τόπῳ.

φοινῑκηΐς, ίδος, ἡ, = **φοινικίς**, Ἡσύχ.

Φοινῑκίας ἄνεμος, ὁ, ὁ ἀπὸ τῆς Φοινίκης πνέων ἄνεμος, δηλ. ὁ Νοτιοανατολικὸς ἄνεμος, Ἀριστ. Μετεωρολ. 2. 6, 10, Ἀρ.σ .ἢ Θεοφρ. π. Σημ. (Ἀριστ. Ἀποσπ. 237. 5 ἐν λ. **εὖρος**).

Φοινῑκίδιον, τό, ὑποκορ. τοῦ **Φοῖνιξ**, νέος ἢ μικρός τις Φοῖνιξ, «φησὶν ὁ Κράτης, τί φεύγεις Φοινικίδιον; οὐδὲν δεινὸν πέπονθας» Διογέν. Λαέρτ. 7. 3.

Φοινῑκίζω μέλλ. Ἀττ. **-ιῶ**, μιμοῦμαι τοὺς Φοίνικας, ἐπὶ κτηνώδους σαρκικῆς ἀπολαύσεως ἢ τῆς παρὰ φύσιν ἀσελγείας, παραπλήσιον τῷ **λεσβιάζω**, Λουκ. Ψευδολ. 28, Γαλην. 12. 249.— Καθ' Ἡσύχ.: «σχύλαξ· σχῆμα ἀφροδισιακόν, ὡς καὶ τὸ τῶν φοινικιζόντων». **II.** (**φοῖνιξ**) ἔχω χρῶμα φοινικοῦν, βαθὺ κόκκινον, Γεωπ. 16 2, 3· πρβλ. **πορφυρίζω** καὶ τὸ Λατ. spadix.

Φοινῑκικός, ή, όν, ὁ εἰς Φοίνικας ἀνήκων, ὁ ὑπὸ Φοινίκων ἀνευρεθείς, τὰ δὲ μέταλλα τὰ φοινικικὰ Ἡρόδ. 6. 47, Θουκ. 6. 46, κλπ.· ἐνίοτε ὡς τὸ **Ὠγύγιος**, εἰς δήλωσιν μεγάλης ἀρχαιότητος, Πλάτ. Πολ. 414C·— βραχύτερον ὡσαύτως, Καρχηδονικός, ὡς ἐν τῷ fides Punica, εἰς δήλωσιν πανουργίας καὶ δόλου, Φ. στρατήγημα Πολύβ 3. 78, 1· φ. τι ψεῦδος Εὐστ. 1757 ἐν τέλει.— Ἐπίρρ. **-κῶς**, κατὰ Φοινικικὸν τρόπον, Διογέν. Λαέρτ. 7. 25·— (**Φοινικός**, ή, όν, εἶναι συχνὸν ἁμάρτημα τῶν ἀντιγραφέων, ἴδε Wimmer εἰς Θεοφρ. π. Φυτ. Ἱστ. 3. 12, 3, Διονύσ. Ἁλ. 1. 6 καὶ 8., 2. 66, κλπ. **II.** = **φοινίκεος**, ἐρυθρός, μεταφορ., κακὰ φοιν., οἱονεὶ βαθέος χρώματος, μεγάλην κακίαν ἔχοντα Ἀριστοφ. Εἰρ. 303· ἴδε Br. καὶ Dind. αὐτόθι 1173.

φοινίκῐνος, η, ον, (**φοῖνιξ** Β. II) = **φοινικήϊος**, ὁ ἐκ φοίνικος, ἐκ τοῦ δένδρου φοίνικος ἢ τοῦ καρποῦ αὐτοῦ, μύρῳ .. φοινικίνῳ, ἐκ τοῦ φοίνικος παρασκευαζομένῳ, Ἀντιφάνης ἐν «Θορικίοις» 1. 4· οἶνος ὁ φ., ἐκ τοῦ φοίνικος λαμβανόμενος, Ἔφιππος ἐν Ἀδήλ. 3· καὶ ἄνευ τοῦ **οἶνος**, φοινικίνου βῖκός τις ὑπανεῳγνυτο ὁ αὐτ. ἐν «Ἐφήβοις» 1. **II.** **Φοινίκινος**, η, ον, ἡ Φ. νόσος, ἡ ἐλεφαντίασις, «ἡ κατὰ Φοινίκην καὶ κατὰ τὰ ἄλλα ἀνατολικὰ μέρη πλεονάζουσα» Γαλην. Ἱπποκρ. γλωσσ. ἐξήγ. 592 (ἔνθα Φοινικίη νόσος).

Φοινίκιον [ῑ], τό, = φοῖνιξ, Β. II. 2, Γαλην. τ. 14, σ. 559, 4. **II.** = **φοῖνιξ**, Ε. IV, Ἀριστ. Προβλ. 19. 13. **III.** = **φοῖνιξ** Β. Ι. 1, Συλλ. Ἐπιγρ. 155. 12.

φοινίκιος, α, ον, μεταγενέστ. τύπος τοῦ **φοινίκεος**, Ἀριστ. Μετεωρ. 3. 2, 4, Πολύβ. 6. 23, 12. **II.** = **Φοινικικός** I, Σοφ. Ἀποσπ. 460, Διόδ. 3. 67., 5. 74, Πλούτ. 2. 738E.

φοινῑκιοῦς, οῦσσα, οῦν, = **φοινίκεος**, Ἀριστοφ. Ὄρν. 272, Ἀριστ. π. Χρωμ. 2. 2, 3 12., 5. 19, κ. ἀλλ. **II.** φοινικιοῦν, τό, δικαστήριόν τι ἐν Ἀθήναις κληθὲν ἐκ τοῦ χρώματος τῶν τοίχων αὐτοῦ, Παυσ. 1. 28, 8· πρβλ. **βατραχιοῦν**.

φοινῑκίς, ίδος, ἡ, (**φοῖνιξ**) ἐρυθρὸν ἢ πορφυροῦν ὕφασμα, Ἀριστοφ. Πλ. 731. 735· ἐν χρήσει ὡς κάλυμμα τῶν ἵππων, Ξεν. Κύρ. Παιδ. 8. 3, 12. 2) ἐρυθρὸν ἱμάτιον, Λατ. punicea vestis, καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα, «λίθοις αὐ-

τὸν αἱμάσσειν ὥστε φοινικοῦν αὐτῷ ποιῆσαι τὸ σῶμα» (Σχόλ.), Ἀριστοφ. Ἀχ. 320· φοινικίδ' ὀξεῖαν πάνυ, κόκκινον φόρεμα ὡς οἷόν τε λαμπρόν, ὁ αὐτ. ἐν Εἰρ. 1173, πρβλ. 1175· μάλιστα δὲ τὸ βαθέος ἐρυθροῦ χρώματος στρατιωτικὸν ἱμάτιον τῶν Λακεδαιμονίων, ὁ αὐτ. ἐν Λυσ. 1140, Ἀριστ. Ἀποσπ. 499· ἴδε Σχόλ. ἐν τόπῳ, Schn. id. Ξεν. Λακ. Πολ. 11. 3, Θωμ. Μάγ. σ. 899· — ὅμοιον ἐπανωφόριον ἐφόρουν οἱ Πέρσαι, Schneid. εἰς Ξεν. Κύρ. Παιδ. 6. 4, 1, πρβλ. τὸ ἑπόμ.· ὡσαύτως οἱ Ρωμαῖοι, Πλουτ. Αἰμίλ. 18, κλπ.· διεστέλλετο δὲ τοῦτο ἀπὸ τῆς πορφυρίδος, Ξεν. Κύρ. Παιδ. 8. 3, 3. **3)** ἐρυθρὸν παραπέτασμα ἢ τάπης, Αἰσχίνης 64. 27. **4)** ἐρυθρὰ σημαία, δι' ἧς ἐδηλοῦτο ἡ διαταγὴ πρὸς ἔναρξιν τῆς μάχης, Πολύβ. 2. 66, 11, Διόδ. 13. 17, κλπ.— καθόλου, ἐρυθρὰ σημαία, φοινικίδα ἀνασείειν, ὅπερ ἐγίνετο ἐπὶ καταρῶν ἢ ἀφορισμῶν ἀπὸ τῆς κοινωνίας, Λυσίας 107. 50. **5)** ἐρυθρὸν πινάκιον ὑπὸ εἰκόνας ὑψηλὰ ἀνηρτημένας, δηλοῦν τὴν σημασίαν τῆς παραστάσεως, Ἰω. Χρυσ. εἰς τοὺς Ψαλμ. 50, σ. 692, καὶ ἐν Ὁμιλ. 71, τ. 6, σ. 725.

φοινῑκιστής, οῦ, ὁ, (φοῖνιξ) ὁ βαφεὺς ἐρυθρῶν ἢ πορφυρῶν χρωμάτων, Ζωναρᾶς σ. 1818. **II.** παρὰ τοῖς Πέρσαις, ὁ φορῶν πορφύραν, δηλ. ὁ ἀνήκων εἰς τὴν ἀνωτάτην τάξιν, Λατιν. purpuratus, ἀπέκτεινεν ἄνδρα Πέρσην, Μεγαφέρνην, φοιν. βασίλειον Ξεν. Ἀν. 1. 2, 20· ἐν ᾧ οἱ **παραλουργεῖς** ἦσαν «οἱ ἧττον ἔνδοξοι καὶ ἔντιμοι» Ἡσύχ.· πρβλ. **παρυφής**. **III.** =**Φοινικίζων**, δεδομένος εἰς κτηνώδεις ἢ παρὰ φύσιν ἀσελγείας, Σχόλ. εἰς Ἀριστοφ. Εἰρ. 883· «γλωττοκομεῖον ... εἴρηται τὸ γυναικεῖον αἰδοῖον ὑπὸ Εὐβούλου φοινικιστὴν σκώπτοντος» Ἐτυμολ. Μέγ. 235, 47.

Φοινῑκιστί, Ἐπίρρ., ἐν τῇ τῶν Φοινίκων ἢ τῶν Καρχηδονίων διαλέκτῳ, Πολύβ. 1. 80, 6.

φοινῑκίτης, ου, ὁ, (φοῖνιξ Β. II), φ. οἶνος, ὁ ἐκ φοινίκων κατασκευαζόμενος, Διοσκ. 5. 40.

φοινῑκο-βάλᾰνος, ἡ, ὁ καρπὸς τοῦ φοίνικος, «χουρμᾶς», Πολύβ. 12. 2, 6., 26. 10, 9, Διοσκ. 1. 14, 8, Συλλ. Ἐπιγραφ. 123. 20.

φοινῑκό-βαπτος, ον, ὁ βεβαμμένος εἰς χρῶμα φοινικοῦν, ἐσθήματα Αἰσχύλ. Εὐμ. 1028.

φοινῑκο-βατέω, ἀναβαίνω εἰς φοίνικας, δηλ. φοινικόδενδρα, Λουκ. περὶ τῆς Συρ. Θεοῦ 29.

φοινῑκο-βᾰφής, ές, = **φοινικόβαπτος**, Ἡλιόδ. 3. 3, Σχόλ. εἰς Ἀριστοφ. Ἀχ. 319.

Φοινῑκο-γενής, ές, ὁ γεννηθεὶς ἐν Φοινίκῃ, Εὐρ. Ἀποσπάσμ. 475a. 1.

φοινῑκο-δάκτῠλος, ον, ὁ ἔχων φοινικοῦς δακτύλους, ἐπίθ. ἐπινοηθὲν ὑπὸ τοῦ Ἀριστοτέλους, διαφέρει δ' εἰπεῖν, οἷον 'ῥοδοδάκτυλος ἠώς', μᾶλλον ἢ 'φοινικοδάκτυλος' ἢ ἔτι φαυλότερον, ἐρυθροδάκτυλος Ἀριστ. Ρητ. 3. 2, 13· κατ' ἀναλογίαν τοῦ **ῥοδοδάκτυλος**.

φοινῑκο-ειδής, ές, ἐρυθρωπός, Θεοδόσ. Διάκονος περὶ Κρήτης 1. 171.

φοινῑκόεις, εσσα, εν, (**φοῖνιξ** Β. I), = **φοινίκεος**, ὁ ἔχων χρῶμα βαθὺ ἐρυθρόν, κοκκινοβαφής, χλαῖνα Ἰλ. Κ. 133, Ὀδ. Ξ. 500· ἡνία Ἡσ. Ἀσπ. Ἡρ. 95· σμώδιγγες .. αἵματι φοινικόεσσαι, οἰδήματα κόκκινα ἐκ τοῦ αἵματος, Ἰλ. Ψ. 717· αἵματι φοινικόεις Ἡσ. Ἀσπ. Ἡρ. 194. [Παρ' Ὁμ. καὶ Ἡσ. τὰ **φοινικόεσσαν, -όεντα,** πρέπει νὰ προφέρωνται ὡς συνῃρημένα].

φοινῑκό-κροκος, ον, (κρόκη) ὁ ἔχων κρόκην («ὑφάδι») φοινικοῦν, φοινικόκροκον ζώναν, «κοκκινόβαφον» (Σχόλ.), Πινδ. Ο. 6. 66.

φοινῑκό-λεγνος, ον, «φοινικόλεγνον· Ἴων (Ἀποσπ. 68) τὸν πηνέλοπα, τὸ ὄρνεον τὸν γὰρ τράχηλον ἐπίπαν φοινικοῦν. ἡ δὲ λέγνη παρέλκει» Ἡσύχ.

φοινῑκό-λοφος, ον, ὁ ἔχων λόφον πορφυροῦν, δράκων Εὐρ. Φοίν. 820· ὄρνιθες Θεόκρ. 22. 72· ἀλεκτρυὼν Γεωπ. 14. 16, 2.

φοινῑκο-πάρῃος, [ᾰ], **ον,** Ἰων. ἀντὶ **φοινικοπάρειος**, ὁ ἔχων ἐρυθρὰς παρειάς, ὡς τὸ **μιλτοπάρῃος**, ἐπίθετον τῶν πλοίων, ὧν αἱ πρῷραι ἐχρωματίζοντο κόκκιναι, Ὀδ. Λ. 124, Ψ. 271.

φοινῑκο-πάρῠφος, ον, ὁ ἔχων παρυφὴν χρώματος φοινικοῦ, τηβέννας ἐμπεπορπημένοι περιπορφύρους φοινικοπαρύφους, ἃς καλοῦσι τραβέας Διον. Ἁλ. 6. 13.

φοινῑκό-πεδος, ον, ὁ ἔχων φοινικοῦ χρώματος πυθμένα, ἐπίθετον τῆς Ἐρυθρᾶς Θαλάσσης, φοινικόπεδόν τ' Ἐρυθρᾶς . . χεῦμα θαλάσσης Αἰσχύλ. Ἀποσπ. 192.

φοινῑκό-πεζα, ἡ, κοκκινόπους, ἐρυθρόπους, ἐπίθετον τῆς Δήμητρος, πιθαν. ἐκ τοῦ πυροῦ χρώματος τοῦ ὡρίμου σίτου, τὸ τοῦ Οὐεργιλίου rubicunda Ceres, ἐσχηματίσθη κατ' ἀναλογίαν πρὸς τὸ Ὁμηρ. **ἀργυρόπεζα**, Πινδ. Ο. 6. 159, ἔνθα ἴδε Böckh (92).

φοινῑκό-πτερος, ον, ὁ ἔχων κόκκινα πτερά, — εἶδος πτηνοῦ βιοῦντος παρὰ τὰ ὕδατα, Phoenicopterus, Ἀριστ. Ὄρν. 273, πρβλ. Juvenal. 11. 139· ὡσαύτως, ὄρνιθα φοινικόπτερον Κρατῖνος ἐν «**Νεμέσει**» **4.**

φοινῑκό-ροδος, ον, κατακόκκινος ἐκ ῥόδων, φοινικορόδοις ἐν λειμώνεσσι Πινδ. Ἀποσπ. 95.

φοινῑκό-ρυγχος, ον, ὁ ἔχων ῥύγχος φοινικοῦν, κορακίας Ἀριστ. π. τὰ Ζ. Ἱστ. 9. 24.

φοινικός, Φοινικός, ή, όν, ἡμαρτ. γραφ. ἀντὶ **φοινικοῦς, Φοινικικός.**

φοινῑκο-σκελής, ές, ὁ ἔχων κόκκινα σκέλη, Εὐρ. Ἴων 1207.

φοινῑκο-στερόπας, α, Δωρ. **-στερόπης,** ἐξακοντίζων ἐρυθρὰς ἀστραπάς, Δία φοινικοστερόπαν Πινδ. Ο. 9. 10.

Φοινῑκό-στολος, ον, ὁ ὑπὸ τῶν Φοινίκων στελλόμενος, Φοιν. ἔγχεα, δηλαδὴ ἔγχεα τοῦ τῶν Φοινίκων στόλου, Πινδ. Ν. 9. 67.

φοινῑκο-τρόφος, ον, ὁ τρέφων, φύων φοίνικας, τόπος φοινικοτρόφος Στράβ. 838.

φοινίκ-ουρος, ὁ, πτηνόν τι ἔχον κοκκίνην οὐράν, ἐρίθακος, «κοκκινόκωλος», Motacilla phoenicurus, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 9. 49Β, 4, Γεωπον. 15. 1, 22, κλπ.

φοινικοῦς ῆ, οῦν, ἴδε **φοινικόεις.**

φοινῑκο-φαής, ές, ὁ φαινόμενος φοινικοῦς, οὐκ ἄλλη φοινικοφαῆ πόδα κινήσεις; Εὐρ. Ἴων 163 (ὁ Nauck προτείνει φοινικοβαφῆ).

φοινικοφόροι Ἄραβες, οἱ φέροντες φοίνικας, Μ. Πλαν. μετάφρ. Ὀβιδ. μεταμορφ. Χ, 478, τὸ Λατιν. palmiferi.

φοινῑκό-φυτος, ον, κατάφυτος ἐκ φοινίκων, Διόδ. 2. 48., 19. 98.

φοινῑκό-χρως, ὁ, ἡ, ὁ φοινικοῦς τὸ χρῶμα, Σωφρόνιος ἐν Mai. Spicil. 3. 257.

φοινικόφυλλα, τά, ὡς καὶ νῦν, τὰ τῶν φοινίκων φύλλα, Κ. Πορφ. Ἔκθ. βασ. τάξ. σ. 170. 412, ἔκδ. Β.

φοινικτικῶς, Ἐπίρρ., μὲ κοκκίνισμα, φοινικτικῶς πάσχουσιν Σέξτ. Ἐμπ. Μ. 7. 198.

φοινῑκών, ῶνος, ὁ, ἄλσος φοινίκων, Αἰλ. περὶ Ζῴων 16. 18, Ἰωσήπ. Ἰουδ. Πόλ. 4. 8, 2.

Φοῖνιξ, (καὶ **Φοίνιξ** ἴδε κατωτ.) **ῖκος, ὁ, ἡ,** κάτοικος Φοινίκης, Ὅμηρ.· Φοῖνιξ ἀνὴρ ἀπατήλια εἰδὼς Ὀδ. Ξ. 288· διότι τοιοῦτος ἦν ὁ συνήθης τῶν Φοινίκων χαρακτὴρ ὡς τοῦ πρώτου ἐμπορικοῦ ἔθνους· παρ' Ὁμήρῳ παρίστανται ὡς οἱ πρῶτοι σωματέμποροι καὶ ἀπαγωγεῖς, πρβλ. Ὀδ. Ν. 372 κἑξ., Ο. 415 κἑξ.· ὡς Φ. ἀνήρ, Σιδώνιος κάπηλος Σοφ. Ἀποσπ. 756· πρβλ. **Φοινικικός.** **2)** θηλ., Φοίνισσα γυνὴ Ὀδ. Ο. 417· **αἱ Φοίνισσαι**, ὄνομα δραμάτων τοῦ Εὐριπίδου, τοῦ Φρυνίχου, κλπ.· ὡσαύτως, Φ. ἐμπολὰ Πινδ. Π. 2. 125· χθών, νῆσος Εὐρ. Φοίν. 6. 204 κλπ.· Φ. βοὰ αὐτόθι 301· Φ. κώπη ὁ αὐτ. ἐν Ἑλ. 1272. **II.** Καρχηδόνιος, ἐπειδὴ οὗτοι ἐκ τῶν Φοινίκων κατήγοντο, Böckh Expl. εἰς Πινδ. Π. 1. 72 (183)· οὕτω καί, Φοίνισσα ναῦς Διόδ. 13. 80. (Περὶ τοῦ Λατιν. Poenus ὡς παριστάνοντος τὸ Ἑλλην. **Φοῖνιξ** (πρβλ. **πόρφυρος,** purpura), ἴδε Curt. σ. 417.)

Β. φοῖνιξ, ῖκος, ὁ, ὡς προσηγορικόν, χρῶμα φοινικοῦν, βαθὺ κόκκινον ἢ πορφυροῦν, διότι ἡ εὕρεσις καὶ παλαιοτάτη χρῆσις τοῦ χρώματος τούτου ἀπεδίδετο εἰς τοὺς Φοίνικας, Ἰλ. Δ. 141., Ζ. 219, Ὀδ. Ψ. 201, κλπ.·— ἐντεῦθεν, **2)** ὡς ἐπίθ. (μετὰ θηλυκ. **φοίνισσα** ἐν Πινδ. Π. 1. 45., 4, 365· ἀλλὰ **φοῖνιξ** ὡς θηλ., ἐν Εὐρ. Τρῳ. 815· οὐδέποτε παρὰ τοῖς δοκίμοις ὡς οὐδέτ., Λοβεκ. Παραλ. 284)— πυρρός, ἐπὶ ἵππου, Ἰλ. Ψ. 454· ἐπὶ βοός, Πινδ. Π. 4. 365, Θεόκρ. 25. 128· ὡσαύτως ὡς τὸ Λατ. fulvus, ἐπὶ τοῦ χρώματος τοῦ πυρός, φοίνισσα φλὸξ Πινδ. Π 1. 45· φοῖνιξ πυρὸς πνοὰ Εὐρ. Τρῳ. 815· πέπλος ὁ αὐτ. ἐν Ἑλ. 181, κλπ.· — **φοῖνιξ, φοινίκεος, φοινίκιος, φοινικόεις, φοινικοῦς,** ἐχρησίμευον εἰς δήλωσιν παντὸς βαθέος ἐρυθροῦ χρώματος, ἀπὸ τοῦ ἐρυθροῦ μέχρι τοῦ πορφυροῦ, αἱ δὲ τοῦ αὐτοῦ χρώματος λαμπρότεραι ἀποχρώσεις ἐδηλοῦντο διὰ τῶν ἐπιθέτων **πορφύρεος** καὶ **ἁλουργής**, τὸ δὲ μεταξὺ τούτων χρῶμα διὰ τοῦ **κόκκινος, κοκκοβαφής**, ἴδε Ἀριστ. (ἢ Θεόφρ.) περὶ Χρωμ. κλπ. Ἡ ἐν λόγῳ τάξις λέξεων ἦν ἐν χρήσει μόνον ἐπὶ πραγματικοῦ χρώματος, σπανίως δὲ ὡς τὸ **πορφύρεος**, μετὰ τῆς μεταφορικῆς σημασίας τῆς λαμπρότητος, ὡς ἐν τῷ φ. ἡνία, Ἡσ. Ἀσπ. Ἡρ. 95, Πρβλ. **φοινός, φοινήεις, δαφοινός.** Ἐντεῦθεν, **II.** τὸ δένδρον φοῖνιξ, ἡ «χουρμαδιά», Ὀδ. Ζ. 163, Ὕμν. εἰς Ἀπόλλ. 117, Πινδ. Ἀποσπ. 45. 13, Εὐρ., κλπ.· ὁ ἄρρην καὶ ὁ θῆλυς φοῖνιξ διακρίνεται παρ' Ἡροδ. ὡς φ. ὁ ἔρσην καὶ φ. ἡ βαλανηφόρος, 1. 193· ἀλλὰ καὶ ὁ θῆλυς φοῖνιξ φέρεται διὰ τοῦ ἀρσ. γένους, πάντες (δηλ. οἱ φοίνικες) ὄντες καρποφόροι 4. 172· καὶ φοίνικες καρποφόροι πολλοὶ 183, πρβλ. Θεόφρ. π. Φυτ. Ἱστ. 2. 6, 6., 8. 4, Διόδ. 2. 53·— οἱ κλάδοι αὐτοῦ (**σπάθαι**, ἴδε Ἡρόδοτ. 7. 69) ἐχρησίμευον εἰς πλοκὴν στεφάνων νίκης, Πλούτ. 2. 723Β, κλπ.· φ. ἀποδοῦναί τινι αὐτόθι 1015D· οἶνος φοινίκων (πρβλ. **φοινικήιος**) Ξεν. Ἀν. 2. 3, 14, πρβλ. 1. 5, 10. **2)** ὁ καρπὸς τοῦ δένδρου τούτου, ἡ βάλανος τοῦ φοίνικος, ὁ «χουρμᾶς», Ἑλλάνικ. 157· βότρυς, ῥόας, φοίνικας, ἕτερα νώγαλα Ἀντιφάνης ἐν «Βουσίριδι» 1, Ἕρμιππος ἐν Ἀδήλ. 3· ὀρθότερον, ἡ τοῦ φοίνικος βάλανος Ἡρόδ. 1. 193· καρπὸς φοίνικος Ἕρμιππος

ἐν «Φορμοφόροις» 1. 22· πρβλ. **φοινικοβάλανος.** 3) φυλλωτὸς κλάδος τοῦ φοίνικος, Ἀριστ. Ἠθ. Μεγ. 1. 34. 43. **ΙΙΙ** εἶδος χαμαιριφοῦς φοίνικος ἔχοντος πλατὺ καὶ μαλακὸν φύλλον ἐξ οὗ πλέκουσι φορμοὺς καὶ σπυρίδας, Lolium perenne, Θεοφρ. περὶ Φυτ. Ἱστ. 2. 6, 11· εἶδος ἀγρίας καλάμης φυομένης ἐν ἀρούραις καὶ ἐπὶ στεγῶν νεοκαταχρίστων καὶ ἐχούσης φύλλα ὅμοια κριθῇ, βραχύτερα δὲ καὶ στενώτερα, Διοσκ. 4. 43. **IV.** μουσικὸν ὄργανον ὅμοιον κιθάρᾳ ἢ εὑρεθὲν ὑπὸ τῶν Φοιν., Ἡρόδ. 4. 192· «φοίνικα δὲ τὸ ὄργανον Ἔφορος καὶ Σκάμων ἐν τοῖς περὶ εὑρημάτων ὑπὸ Φοινίκων εὑρεθέντα ταύτης τυχεῖν τῆς προσηγορίας» Ἀθήν. 637Β· πρβλ. **φοινίκιον ΙΙ.** **V.** τὸ μυθικὸν πτηνὸν φοῖνιξ, πρῶτον ἐν Ἡσ. Ἀποσπάσμ. 50. 4· κατὰ τὸν παρ' Ἡροδ. 2. 73 μῦθον ἤρχετο ἐξ Ἀραβίας εἰς Ἡλίου πόλιν (Ἡλιόπολιν) κατὰ πᾶν 500ὸν ἔτος, πρβλ. Ἀντιφάνην ἐν «Ὁμοπατρίοις» 1· ἀλλὰ κατὰ μεταγενεστέρους μύθους ἦτο Ἰνδικὸν πτηνόν, ὅπερ ἐνεφανίζετο κατὰ περιόδους 500 ἢ 1461 ἐτῶν, Φιλόστρ. 134· — παροιμ., φοίνικος ἔτη βιοῦν Λουκ. Ἑρμότ. 53· πρβλ. Bochart Hieroz. 2. 6, 5, Creuzer's Symb. 1. σ. 438, Jacobson εἰς Κλήμεντα Ῥώμης 1. 25, Lewis Astr. of Anc. σ. 283.

Γ. [Ἐν πάσῃ σημασίᾳ ἡ λέξις ἔχει ῑ ἐν τῇ γενικῇ· ἀλλ' ὁ Ἡρωδιαν., ὁ Χοιροβ., ὁ Πρισκιανὸς κλπ., ἔγραφον τὴν ὀνομαστ. **φοῖνιξ**, προπερισπωμ., δεχόμενοι ὅτι τὰ φωνήεντα ι καὶ υ οὐδέποτε εἶναι μακρὰ φύσει πρὸ τοῦ διπλοῦ ξ, (Α. Β. 1429).—Τοῦτο, φαίνεται, ἐξηρτᾶτο ἐκ τῆς ἀρχαίας προφορᾶς. Πρβλ. **κῆρυξ**, καὶ ἴδε Κόντον ἐν Ἕλληνι Φιλολόγῳ 1871, Ἀριθμ. 3, σ. 45 κέξ.

φοίνιξις, εως, ἡ, = **φοινιγμός,** Ἀντυλλ. παρ' Ὀρειβασ. 140 Matth.

φοίνιος, α, ον, καὶ ος, ον, Πινδ. Ι. 4 (3). 59· (**φοινός**) Ποιητ. ἐπίθ. ἐν χρήσει ἀντὶ τοῦ **φόνιος**, ὁσάκις ἡ πρώτη συλλαβὴ πρέπει νὰ ᾖ μακρά, αἱματόεις, ὅμοιος αἵματι, ἐρυθρὸς ὡς αἷμα, κόκκινος, αἷμα Ὀδ. Σ. 97, Αἰσχύλ. Θήβ. 737, Σοφ. Φιλ. 783· δρόσος Αἰσχύλ. Ἀγ. 1390 φ. στάλαγμα, δηλ. αἷμα, Σοφ. Ἀντ. 1239. **ΙΙ.** αἱμοχαρής, φοίνιον ἀλκάν, «τὴν φονίαν, τὴν πολεμικήν» (Σχόλ.), ἐπὶ τοῦ Αἴαντος, Πίνδ. ἔνθ' ἀνωτ.· φ. ξυνωρίς, ἡ δημοσία καὶ ἡ ἰδιωτικὴ ἀπώλεια, Αἰσχύλ. Ἀγ. 643· χεὶρ φ. Σοφ. Αἴ. 722· χεῖρες ὁ αὐτ. ἐν Οἰδ. Τυρ. 466· κοπὶς ὁ αὐτ. ἐν Ἀντιγ. 601· κέντρα ὁ αὐτ. ἐν Τραχ. 840. 2) αἱμοδιψής, αἱμοβόρος, φονικός, Σκύλλα Αἰσχύλου Χο. 614· πέπληγμαι.. δήγματι φοινίῳ ὁ αὐτ. ἐν Ἀγ. 1164, πρβλ. 1278· φ. Ἄρης Σοφ. Ἠλ. 99· ἔχιδνα ὁ αὐτ. ἐν Τραχ. 770·—φ. σάλος, μεταφορ., ἐπὶ τοῦ λοιμοῦ, ὁ αὐτ. ἐν Οἰδ. Τυρ. 24, πρβλ. Αἴαντα 351.— Σπάνιον παρὰ τοῖς κωμικ., ὡς παρ' Ἀριστοφ. ἐν Θεσμ. 694.

Φοίνισσα, φοίνισσα, θηλ. τοῦ **Φοῖνιξ, φοῖνιξ.**

φοινίσσω, μέλλ. **-ξω·** (φοινός)·—κάμνω τι κόκκινον, κοκκινίζω, αἵματι δ' Ἄρης πόντον φοινίξει Χρησμ. παρ' Ἡροδ. 8. 77· σφάγια φοινίσσειν Εὐρ. Ὀρ. 1285· φοινίσσουσα παρῆδ' ἐμὰν αἰσχύνᾳ ὁ αὐτ. ἐν Ι. Α. 187.—Παθ., γίνομαι κόκκινος, μάστιγι φοινιχθεὶς Σοφ. Αἴ. 110· φ. αἵματι Εὐρ. Ἑκ. 152· καὶ χρόα φοινίχθην Θεόκρ. 20. 16· νᾶμα δ' ἐφοινίχθη ὁ αὐτ. 23. 61.—Μέσ., σκίλλη.. φοινίξατο σάρκα, «ἤγουν τὴν ἁπαλὴν σάρκα ἐπυράκτωσεν» (Σχόλ.), Νικ. Ἀλεξιφ. 254, πρβλ. Νόνν. Δ. 34. 143. 2) κατὰ τὴν διάλεκτον τῶν Περραιβῶν, = **αἱμάσσω,** Ἀρ. στοφ. περὶ Θαυμασ. 132. **ΙΙ.** ἀμεταβ., γίνομαι ἐρυθρὸς ὡς αἷμα, Σοφ. Ἀποσπ. 462b, Νικ. Θηρ. 238, Ὀππ. Ἁλ. 2. 428.

φοινός, ἡ, όν, (φόνος) κόκκινος ὡς αἷμα, παρήιον αἵματι φοινὸν Ἰλ. Π. 159· αἱμοχαρής, φονικός, θυμὸς Ὕμν. Ὁμηρ. εἰς Ἀπόλλ. 362· δίκη, ὄλεθρος Νικ. Θηρ. 146, 675.

φοινός, ὁ, = **φόνος,** Νικ. Ἀλεξιφ. 187.

φοινώδης, ες, (εἶδος) ὁ ἔχων ὄψιν ἐρυθρὰν ὡς τὸ αἷμα, καρπὸν.. φοινώδεα σίδης Νικ. Ἀλεξιφ. 489.

φοῖς, ἴδος, ἡ, ἴδε **φῴς.**

φοιτάζω, = **φοιτίζω,** Ἑλλάδ. ἐν Φωτ. Βιβλιοθ. 532. 10.

φοιτᾰλέος, α, ον, καὶ ος, ον, Εὐρ. Ὀρ. 326· — ὁ ἀγρίως περιπλανώμενος τῇδε κἀκεῖσε, ὁ μανιωδῶς πορευόμενος, Μόσχ. 2. 46, Ὀρφ. Ὕμν. 1. 45· φοιταλέαι, μανιώδεις, Ἀνθ. ΙΙ. 9. 603. **ΙΙ.** ἐνεργ., ὁ ἐπιφέρων, προξενῶν μανίαν, κέντροισι φοιταλέοις Αἰσχύλ. Πρ. 599· λύσσα Εὐρ. Ὀρ. 326· μάστιξ Ὀππ. Ἁλ. 2. 513.—Ποιητ. λέξις.

φοιτᾰλιεύς, έως, ὁ, = τῷ ἑπομ., Ὀππ. Κυν. 4. 236.

φοιτᾰλιώτης, ου, ὁ, ἐπίθ. τοῦ Βάκχου, ὁ περιφερόμενος τῇδε κἀκεῖσε, περιπλανώμενος, Ἀνθ. ΙΙ. 9. 524.

φοιτάς, ἄδος, ἡ, (φοιτάω) θηλ. τοῦ **φοιταλέος,** ἐπὶ τῆς Κασσάνδρας, Αἰσχύλ. Ἀγ. 1273· ἐπὶ τῶν Βακχῶν, Εὐρ. Βάκχ. 161. **ΙΙ.** ὡς ἐπίθ., φ. νόσος, μανία, παραφροσύνη, Σοφ. Τρ. 980· φ. πλάνη Λυκόφρ. 610. φ. ῥιπή, ἡ ἀσταθὴς κίνησις τῆς φλογὸς τοῦ πυρός, Τρυφιόδ. (ὀρθ. Τριφ.) 231· φ. ἐμπορίη, ἡ κατὰ θάλασσαν ἐμπόριον, Ἀνθ. Π. 7. 586·—ὡσαύτως ἐν χρήσει μετ' οὐδ. οὐσιαστ., φοιτάσι πτεροῖς, διὰ φοιτώντων, πλανωμένων πτερῶν, Εὐρ. Φοιν. 1024, ἴδε Πἐρσ. ἐν τόπῳ καὶ εἰς Εὐρ. Ὀρ. 264. Λοβεκ. Παραλ. 262, μεταγεν. καὶ μετ' ἀρσ. οὐσιαστ., φοιτάδι μόχθῳ Ἰω. Γαζ. Ἔκφρ. 510.

φοιτάω, Ἰωνικ. **-έω,** Ἡρόδ. (περὶ τοῦ **ἐφοίτεε** ἐν Νόνν. Δ. 321, ἴδε Λοβεκ. Τεχν. σελ. 164)· παρατ. Ἐπικ. γ' δυϊκ. **φοιτήτην** ἀντὶ **ἐφοιτάτην** Ἰλ. Μ. 266· Ἰων. **φοίτεσκον** Ἄσιος παρ' Ἀθην. 525F· (ἴδε **φοῖτος**). Ὑπάγω ἐδῶ καὶ ἐκεῖ, ἄνω καὶ κάτω, μέσα καὶ ἔξω, ἔμπρὸς καὶ ὀπίσω, καὶ ὅταν ἀπολέσῃ τὴν σαφῆ ταύτην σημασίαν (ἴδε κατωτ. ἐν τέλει), ἔχει ἀείποτε τὴν ἔννοιαν τῆς ἐπανειλημμένης κινήσεως, περιφέρομαι τῇδε κἀκεῖσε, Ὁμ., Ἡσ., κλπ.· ἀν' ὅμιλον ἐφοίτα θηρὶ ἐοικὼς Ἰλ. Γ. 449, πρβλ. Ν. 760· φοίτα δ' ἄλλοτε μὲν πρόσθ' Ἕκτορος, ἄλλοτ' ὄπισθεν Ε. 595· φοιτῶν ἔνθα καὶ ἔνθα κατὰ στρατὸν Β. 779· ἐφοίτων ἄλλοθεν ἄλλος Ὀδ. Ι. 401., Κ. 119· πάντη φοιτήσασα Ἰλ. Υ. 6· φοίτα μακρὰ βιβὰς Ο. 686, πρβλ. Ὀδ. Λ. 539· αὐτὰρ ἐγὼ διὰ νηὸς ἐφοίτων, περιῄειν, ἐπορευόμην ἀπὸ τοῦ ἑνὸς μέρους τοῦ πλοίου εἰς τὸ ἕτερον, Μ. 420· οὕτως ἐπὶ πετομένων πτηνῶν, ὄρνιθες δέ τε πολλοὶ ὑπ' αὐγὰς ἠελίοιο φοιτῶσ' Β. 182, Εὐρ. Ἱππόλ. 1059, Ἴων 156· ἐπὶ ἵππων νεμομένων, Ἡρόδ. 1. 78· ἐπὶ κυνηγετικῶν κυνῶν περιτρεχόντων καὶ ἰχνηλατούντων, Ξεν. Κυν. 4. 4., 6, 19· φοιτᾷς ὑπερπόντιος, ἔν τ' ἀγρονόμοις αὐλαῖς, ἐπὶ τοῦ ἔρωτος περιφερομένου ἀνὰ τὴν ξηρὰν καὶ τὴν θάλασσαν, Σοφ. Ἀντιγ. 785, πρβλ. Εὐρ. Ἱππόλ. 447· ἐπὶ νεανιῶν περιφερομένων ἄνω καὶ κάτω ὅπως ἐπιδείξωσι τὸ κάλλος αὐτῶν, λαμπροὶ τ' ἐν ἥβῃ καὶ πόλεως ἀγάλματα φοιτῶσ' ὁ αὐτ. ἐν Ἀποσπ. 284. 11. 2) περιφέρομαι ἀγρίως ἄνω καὶ κάτω, Ἰλ. Ω. 533· οἱ δὲ μεγάλα στενάχοντες φοίτων Ὀδ. Ξ. 355· φοιτῶν μανιάσιν νόσοις Σοφ. Αἴ. 59. πρβλ. Οἰδ. Τύρ. 476, 1255· ἐντεῦθεν, ὡς τὸ **ἀλάομαι,** μάλιστα ἐπὶ βακχῶν καὶ τῶν ἱερέων τῆς Κυβέλης, περιφέρομαι τῇδε κἀκεῖσε ὡς μαινόμενος ἢ ὡς ἐν ἐκστάσει, Ἀνθ. Πλ. 6. 172· πρβλ. **φοιταλέος, φοιτάς·** οὕτω καὶ Λατ. error mentis, ἀντίθετον τῷ mens constans. 3) ἐπὶ σαρκικῆς μίξεως ἢ συνουσίας, εἰσέρχομαι πρὸς ἄνδρα ἢ πρὸς γυναῖκα, εἰς εὐνὴν φοιτῶντε Ἰλ. Ξ. 296· πρὸς ἀλλήλους Πλάτ. Πολ. 390C· πρὸς τὴν γυναῖκα Λυσίας 93. 30· παρ' αὐτὴν αὐτόθι 10· παρὰ τὸν ἑωυτῆς ἄνδρα Ἡρόδ. 2. 111· παρὰ τοὺς δούλους ὁ αὐτ. 4. 1· ὡσαύτως μετὰ δοτ. προσώπου, τοῖσι Πέρσῃσι ὁ αὐτ. 3. 69.

4) μεταβαίνω, πηγαίνω, συχνάζω πρός τινα ὡς πρὸς φίλον, φ. παρά τινα, ἐπισκέπτομαι αὐτόν, Πλάτ. Εὐθύδ. 295D, Λάχ. 181C, κλπ.· παρ' ἡμᾶς φ. ὡς παρὰ φίλους ὁ αὐτ. ἐν Πολ. 328D· πρὸς τὴν συνουσίαν τινὸς ὁ αὐτ. ἐν Νόμ. 624Α· τινὶ ὁ αὐτ. ἐν Γοργ. 523C·—ἀκολούθως, συχνάζω πρός τινα ἄνθρωπον ἢ εἴς τινα τόπον πρός τινα σκοπόν, ἐφοίτεον παρὰ Δηιόκεα.. δικασόμενοι Ἡρόδ. 1. 96· φ. παρά τινα ἐς λόγους ὁ αὐτ. 7. 103· φ. ἔς τε πολέμους καὶ ἐς ἄγρας, ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς ὁ αὐτ. 1. 37· ἐς τὰ χρηστήρια ὁ αὐτ. 6. 125· εἰς τὸ ἱερὸν ἑκάστης ἡμέρας Πλάτ. Νόμ. 794Β· φ. πρὸς τοὺς Ἀθηναίους, ἐπὶ πρέσβεων παρὰ τῶν ὑποτελῶν πόλεων, Θουκ. 1. 95· φοιτῶ ἐπὶ τὰς θύρας τινός, συχνάζω εἰς τὴν οἰκίαν τινός, παρὰ τὰς θύρας ἰσχυροῦ τινος, ὅπως τύχω τῆς εὐνοίας καὶ βοηθείας αὐτοῦ, Ἡρόδ. 3. 119, Ξεν. Κύρ. Παιδ. 8. 1, 8, Ἑλλ. 1. 6, 10· μεταγεν., φ. ἐπὶ θύρας Πλούτ., Λουκ., κλπ.· καί, ἐπὶ θύραις Πλουτ. Κάτων Νεώτ. 21· πρβλ. **φοίτησις**·—οὕτως ἐπὶ ὀνείρου συχνάκις ἐπιφαινομένου εἴς τινα, ἐν ὀνείρασι φοιτῶσα Εὐρ. Ἄλκ. 356· πολλάκις μοι φοιτῶν τὸ αὐτὸ ἐνύπνιον Πλάτ. ἐν Φαίδωνι 60Ε· ὡσαύτως, φ. εἰς ξυσσίτια ὁ αὐτ. ἐν Πολ. 416Ε· οὐ γάρ τοι σύ γε πρῶτος ἄκλητος φοιτᾷς ἐπὶ δεῖπνον ἀνηστις Κρατῖνος ἐν «Διονυσαλεξάνδρῳ» 3, πρβλ. Εὔπολιν ἐν «Κόλαξι» 3· φ. εἰς καπήλου Πλούτ. 2. 643C· χορεύσων Δημ. 1001. 20· ἐπὶ τῶν ἐπὶ τραγῳδίαν ποιητῶν ἐρωτώντων· ὦ ξένοι πότερον φοιτῶμεν ὑμῖν εἰς τὴν πόλιν τε καὶ χώραν ἢ μή; Πλάτ. Νόμ. 817Α. 5) συχνάζω πρός τινα ὡς πρὸς διδάσκαλον, παρὰ τὸν Σωκράτη ὁ αὐτ. ἐν Φαίδωνι 59D· παρὰ σὲ ταῦτα μαθησόμενος ὁ αὐτ. ἐν Συμπ. 206Β· παῖς ὢν ἐφοίτας ἐς τίνος διδασκάλου [οἶκον]; Ἀριστοφ. Ἱππ. 1235, πρβλ. Πλάτ. Πρωτ. 320C, Ἀλκιβ. α. 109D· τῶν διδασκάλων ὅποι ἐφοιτῶμεν Ἰσαῖ. 77. 33· φ. εἰς τὰ διδασκαλεῖα Ξεν. Κύρ. Παιδ. 1. 2, 6· εἰς παλαίστραν Πλάτ. Γοργ. 456D· πρὸς τὰς τοῦ γραμματιστοῦ θύρας ὁ αὐτ. ἐν Ἐρυξ. 398Ε· μετὰ δοτ., τοῖς μάγοις Φιλόστρ. 35·—ἀκολούθως ἀπολ., συχνάζω, «πηγαίνω» εἰς τὸ σχολεῖον, Ἀριστοφ. Νεφ. 916, 938· ἐδίδασκες γράμματα, ἐγὼ δ' ἐφοίτων Δημ. 315. 7· οἱ φοιτῶντες, οἱ μαθηταὶ τοῦ σχολείου, Πλάτ. Νόμ. 804D, Ἰσοκρ. περὶ Ἀντιδ. § 196· πρβλ. **συμφοιτάω, φοιτητής.** 6) ἐπὶ ἰατροῦ, ἀσκῶ τὴν τέχνην μου φοιτῶν ἀνὰ τὰς πόλεις, Ἱππ. Λεξ. **ΙΙ.** ἐπὶ πραγμάτων, μάλιστα ἐπὶ ἐμπορευμάτων, κομίζομαι, εἰσάγομαι, ἐξ ἐσχάτης (ἐξωτερ. γῆς) ὅ τε κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ ἤλεκτρον Ἡρόδ. 3, 115· κέρεα, τὰ ἐς Ἕλληνας φοιτέοντα, τὰ εἰσαγόμενα εἰς τὴν Ἑλλάδα, ὁ αὐτ. 7. 126· οὕτω, σῖτος σφισι πολλὸς ἐφοίτα, ἤρχετο εἰς αὐτοὺς πολὺς σῖτος, αὐτόθι 7. 23, πρβλ. Λυσί. 902, ἐν τέλ., Ξεν. Ἑλλ. 1. 1, 35·—ὡσαύτως ἐπὶ τῆς εἰσπράξεως

τῶν φόρων ἢ τελῶν, ὡς τὸ Λατιν. redire, τάλαντον ἀργυρίου Ἀλεξάνδρῳ ἡμέρης ἑκάστης ἐφοίτα, δηλ. ἐκομίζετο, Ἡρόδ. 5. 17, πρβλ. 3. 90·— ἐπὶ τοῦ περιοδικῶς ἐπανερχομένου χρόνου, ἀκάμας χρόνος .. ἀενάῳ ῥεύματι φ. Εὐρ. Ἀποσπ. 597· ἐπὶ ὁδοιπορικῆς πήρας ἢ ῥάβδου, Διογένευς τόδε σῆμα .., ᾧ μία τις πήρα μία διπλοΐς, εἷς ἅμ' ἐφοίτα σκήπων Ἀνθ. Π. 7. 65· ἐπὶ φήμης, λόγος ἐφοίτα, ἐθρυλεῖτο, Πλουτ. Φάβ. 21· κλέος ἐφ. πανταχόσε ὁ αὐτ. ἐν Σερτ. 23, πρβλ. Φάβ. 21, κλπ.· ἀρεταὶ πάντη φ. διὰ τῆς φήμης Διοδ. Ἐκλ. 516. 100. 2) ἐπὶ νόσου, ἥδε [νόσος] ὀξεῖα φοιτᾷ καὶ ταχεῖ' ἀπέρχεται Σοφ. Φιλ. 808, πρβλ. Ἡσ. Ἔργ. καὶ Ἡμ. 100. 3) ἐπὶ περιοδικῶν κενώσεων τῆς κοιλίας, Ἀριστ. π. τὰ Ζ. Ἱστ. 7. 2, 1, περὶ Ζῴων Γενέσ. 1. 19, 22. 4) ἐπὶ βροχῆς, χιόνος ἢ χαλάζης, ὁ αὐτ. ἐν Μετεωρολογ. 1. 11, 1, πρβλ. Προβλ. 23. 2.— Τὰ παραδείγματα βεβαιοῦσι τὸ ἐν ἀρχῇ λεχθὲν περὶ τῆς σημασίας τοῦ ῥήματος. Παρὰ τοῖς δοκίμοις δὲν ὑπάρχει ἐξαίρεσις, διότι τὸ ἐν Σοφ. Τραχ. 11, φ. ἀναφέρεται εἰς τὴν ἐμφάνισιν τοῦ Ἀχελῴου ἐν τρισὶ μορφαῖς· καὶ τὸ ἐν Λυσί. 99. 4, ἐπὶ τὴν ἐμὴν οἰκίαν φ., ἀναφέρεται εἰς τὴν ἐπανειλημμένην ἀπόπειραν ὅπως εἰσέλθῃ, πρβλ. Αἰσχίν. 9. 5.

φοιτεία, ἡ, = **φοίτησις**, «φοιτεία, πορεία» Σουΐδ., «φοιτεία ἡ μάθησις» Θεογνώστου Κανόνες σ. 25, 22, (ἐν Κραμ. Ὀξ. Ἀν. τόμ. 2).

φοιτης, ου, ὁ, «ὁ κῆρυξ, παρὰ τὸ φοιτᾶν πανταχοῦ» Ἡσύχ.

φοίτησις, εως, ἡ, τὸ φοιτᾶν που πολλάκις, φ. ἐπὶ τὰς θύρας Ξεν. Ἑλλ. 1. 6, 7· τῶν εἰς τοὺς γάμους. φοιτήσεων Πλάτ. Νόμ. 784D· πρβλ. **φοιτάω** I. 4. 2) τὸ συχνάζειν εἰς τὸ σχολεῖον, αὐτόθι 764D (ἐν τῷ πληθ.)· ὅθεν, ἐκ φοιτήσεως τινός, ἐκ τοῦ σχολείου τινός, Παυσ. 5. 17, 4.

φοιτητέον, ῥημ. ἐπίθ., δεῖ φοιτᾶν, παρά τινα Πλάτ. Θεαίτ. 161E.

φοιτητήρ, ῆρος, ὁ, = **φοιτητής**, Κόλουθ. 99. II. ὡς ἐπίθ., = **φοιταλέος**, Νόνν. Διονυσ. 4. 270, κλπ.

φοιτητήριον, τό, τόπος φοιτήσεως, σχολεῖον, Οἰνόμαος παρ' Εὐσεβ. III, 388.

φοιτητής, οῦ, ὁ, ὁ συνεχῶς φοιτῶν που, ὁ συχνάζων εἴς τινα τόπον· ἰδίως μαθητής, Πλάτ. Πολ. 563A, Εὐθύδ. 295D, Ἀλκ. 1. 109D, Νόμ. 779D· ἴδε ἐν λέξ. **φοιτάω** I. 5·— **φοιτητής**, **συμφοιτητής** ἦσαν Ἀττικώτερα ἀντὶ τοῦ συνήθους **μαθητής**, ἴδε Λοβέκ. εἰς Φρύνιχ. 400.

φοιτίζω, ποιητ. ἀντὶ **φοιτάω**, Ὕμν. Ὁμηρ. 25. 8, Καλλ. Ἀποσπ. 148, Ἀπολλ. Ῥόδ. Γ' 54.

φοῖτος, ὁ, τὸ συνεχῶς φοιτᾶν που ἢ συχνάζειν·— μεταφορ., πεπιπλάνησις τῆς διανοίας, μανία, παραφροσύνη, σὺν φοίτῳ φρενῶν Αἰσχύλ. Θήβ. 661· οὕτω δὲ ὁ Ἕρμαννος. γράφει **φοῖτος** ὀρθόθριξ ἐν Αἰσχύλ. Χο. 32. (Ὁ Κούρτ. τὴν ῥίζαν τῆς λέξεως θεωρεῖ τὴν αὐτὴν καὶ τοῦ φύω, ἴδε Gr. Et. ἀρ. 417.)

φολῐδόομαι, καλύπτομαι διὰ φολίδων, τὰ κατὰ τὴν κοιλίαν μέρη πεφολίδωται στοιχηδὸν Ὠριγέν. κατὰ Κέλσ. σ. 221, Ἀέτιος 28 παρὰ Schneider Hist. Pisc. σ. 349.

φολῐδώδης, ες, (εἶδος) ὁ ἔχων ἐπιφάνειαν κεκαλυμμένην διὰ φολίδων, Ἱππ.· οὕτω καὶ **φολιδοειδής**, Παῦλ. Αἰγ. 4. 2.

φολῐδωτός, ή, όν, ἢ ός, όν, ἴδε Ἰακώβ. εἰς Φιλόστρ. 793· —ὁ ἔχων φολίδας ἐπὶ τοῦ δέρματος, ἐπὶ ἑρπετῶν, τὸ δὲ **λεπιδωτός** λέγεται ἐπὶ ἰχθύων, Ἀριστ. περὶ τὰ Ζ. Ἱστ. 1. 6, 4., 2. 17, 18., 8. 4, 1, κ. ἀλλ.· θώραξ φ., κατεσκευασμένος ἐκ μικρῶν μεταλλικῶν φολίδων ὧν ἑκάστη ἐπίκειται τῆς ἑτέρας, ὅστις ἂν θώρακ' ἔχῃ φολιδωτὸν Ποσείδιππος ἐν «Χορευούσαις» 8· διάφ. γραφ. ἀντὶ **στολιδ-** ἐν Ξεν. Κύρ. 6. 4, 2· πρβλ. pellis ahenis in plumam squamis conserta, Οὐεργ. Αἰν. 11. 771.

φολίς, ίδος, ἡ, «λέπι» τῶν ἑρπετῶν, ἐν ἀντιθέσει πρὸς τὸ **λεπὶς** τῶν ἰχθύων, Ἀριστ. περὶ τὰ Ζ. Ἱστ. 1. 6, 4, περὶ Ζ. Μορ. 4. 11, 7, πρβλ. Ὀππ. Κυν. 3. 458 εἰ καὶ ἐναλλάσσονται ἐνίοτε, Διόδ. 17. 105, κτλ.—φ. χαλκοῦ Ἱππ. 689. 10. II. κηλὶς ἢ στίγμα τοῦ δέρματος λεοπαρδάλεως ἢ τοῦ πάνθηρος, Ἡλιόδ.· ὅθεν πᾶν στίγμα ὡς αἱ λέξ. **κηλίς**, **σπιλάς**, Ἀπολλ. Ῥόδ. Α 221. II. φολὶς λιθοκόλλητος, ὀροφὴ ἁρμαμάξης κεκοσμημένη διὰ ψηφοθετημάτων, Διόδ. 18. 26. (Πιθαν. συγγενὲς τῷ **φλόος**, ὡς **λεπὶς** τῷ **λέπω**, **λοπός**).

φολκός, ὁ, μόνον ἐν Ἰλ. Β. 217, ὡς ἐπίθετον τοῦ Θερσίτου· κατὰ τὸ Ἐνετ. Σχόλ. Α: ὁ τὰ φάη εἱλκυσμένος, ὅ ἐστιν ἐστραμμένος, τὰς ὄψεις διάστροφος, ἀλλοίθωρος· οὕτω δὲ καὶ τὰ Σχόλ. Β, καὶ ὁ Εὐστ.· ἀλλὰ τοῦτο φαίνεται ἁπλῆ εἰκασία· ὁ Βούτμαν. (Λεξιλ. ἐν λέξ.) νομίζει πιθανὸν ὅτι σημαίνει τὸν ῥαιβὸν ἢ στρεβλόπουν, Λατ. valgus· καὶ ἀναμφιβόλως ἡ σημασία αὕτη ἁρμόζει κάλλιον πρὸς τὴν Ὁμηρικὴν περιγραφήν, φολκὸς ἔην, χωλὸς δ' ἕτερον πόδα.., διότι ἄρχεται ἀπὸ τῶν κάτω ἐρων μερῶν τοῦ σώματος καὶ χωρεῖ πρὸς τὰ ἄνω. (Περὶ τῆς ῥίζης ὁ Κούρτ. παραβάλλει τὰ **φάλκ-ης**, **ἐμ-φαλ-κόω**, Λατιν. falx, falco, ἅπερ πάντα ἔχουσι τὴν σημασίαν τοῦ κεκαμμένου, ἢ καμπύλου).

φολλικώδης, ες, (εἶδος) παρ' Ἱππ., ὅπερ κατὰ τὸν Γαληνὸν = **θυλακώδης**, «φολλικώδεα· τὰ οἱονεὶ θυλακώδεα καὶ σομφὰ» (Γαλην. Ἱππ. Γλωσσ. Ἐξήγ. 592), ἐν ᾧ ὁ Ἐρωτιαν. (σ. 384) ἑρμηνεύει: «φολλικώδη, τὰ ἐφιλλώδη καὶ λεπρώδη. οἱ γὰρ παλαιοὶ φόλλικας ἐκάλουν τὰς ψωρώδεις τραχύτητας».

φόλλιξ, ικος, ἡ, ψωρώδης τραχύτης τοῦ δέρματος, Ἐρωτιαν. σ. 384.

φόλλις, εως, ὁ, τὸ Λατ. follis, φῦσα, φυσητήριον, «μουχάνι», Ἀνθ. Π. 9. 528. II. μικρόν τι νόμισμα, = **ὀβολός**, Εὐστ. 136. 13, Σουΐδ., ἀλλὰ καὶ ποσόν τι χρημάτων ἀδήλου ἀξίας. Εὐσ. Ἐκκλ. Ἱστ. 10. 6, 1, ἴδε Heinich. ἐν τόπῳ, Ἐπιφάν. III, 292.

φόλυς, υος, ὁ, εἶδος κυνός, Ἀντίμ. παρ' Ἡρωδιαν. π. μον. λέξ. 32.

φόναξ, ακος, ὁ, φονικός, αἱματοχαρής, ὄνομα κυνός, Ξενοφ. Κυνηγ. 7, 5.

φονάω, ἐφετ., φόνου ἐπιθυμῶ, ἐπιθυμῶ νὰ φονεύσω, φονᾷ, φονᾷ νόος ἤδη Σοφ. Φιλ. 1209· φονώσαισιν .. λόγχαις (κατὰ τὸν Böckh, ἑπόμενον τῷ Σχολ., ἀντὶ φοινίαις) ὁ αὐτ. ἐν Ἀντ. 117· ἐοικὼς φονῶντι Αἰλ. Ποικ. Ἱστ. 2. 44· τῷ ἐξ Ἄρεως φονῶντι αὐτόθι 3. 9· φονῶν τὸ ὄμμα Φιλόστρ. 874· πρβλ. Γαλην. Ἱππ. Γλωσσ. Ἐξήγ. 592, Ἐτυμολ. Μέγ. 798, 10.—Καθ' Ἡσύχ.: «φονᾶν· τὸ ἐπὶ φόνῳ μαίνεσθαι» καί: «φονώντων· πρὸς φόνον θρασυνομένων καὶ λυσσώντων».— Περὶ τοῦ τύπου ἴδε **τομάω**, **φαρμακάω**.

φόνειος, α, ον, = **φονικός**, Νικήτ. Εὐγεν. 7. 53.

φον-εργάτης, ου, ὁ, = **φονεύς**, Σχόλ. Νεώτ. εἰς Αἰσχύλου Θήβ. 122.

φόνευμα, τό, τὸ ὁρισθὲν πρὸς σφαγήν, περὶ τοῦ Ἴωνος, Εὐρ. Ἴων 1496.

φονεύς, ὁ, γεν. έως, Ἐπικ. ῆος· αἰτ. **φονέα** (πιθ. ὡς ἴαμβος), Σοφ. Ο. Τ. 362, 721, κλπ.· ἀλλὰ παρ' Εὐρ. καὶ **φονέᾶ**, Πόρσ. εἰς Εὐρ. Ἑκάβ. 876· ὀνομ. πληθ. **φονέες** Λεσβῶναξ 173. 37, συνηρ. **φονεῖς** Ἀντιφῶν 126. 36· αἰτ. **φονέας** ὁ αὐτ. 118. 36., 127. 16, Λυσίας, κλπ.· ἀλλὰ συνηρ. **φονεῖς** Πλουτ. 2. 162E· (*φένω) — «φονιᾶς», ἀνθρωποκτόνος, Ἰλ. Ι. 632, Σ. 335, Ὀδ. Ω. 434, Ἡρόδ. 1. 45, καὶ Ἀττ.· αὐτόχειρας καὶ φονέας Ἰσοκρ. 64A· φονέας αὐτῶν Λυσί. 129. 13· μᾶλλον φονεὺς εἶναι, δικαιότερον νὰ νομίζηται ὡς ὁ φονεύς, Ἀντιφῶν 127. 28· ἀκουσίως τινὸς φ. γενέσθαι Πλουτ. Πολ. 451A· — τὸ ξίφος ἐφ' ᾧ ὁ Αἴας ἔρριψεν ἑαυτόν, Σοφ. Αἴ. 1026·— ὡσαύτως ὡς θηλ., τὴν ἐμὴν φονέα Εὐρ. Ι. Τ. 585· μητέρα φονέα οὖσαν Ἀντιφῶν 111. 45, (οὕτω καὶ ὁ φονεύς, ἐπὶ γυναικός, ὁ αὐτ. 113. 29)· φονέα χεῖρα, φονικὴν χεῖρα, Εὐρ. Ι. Τ. 586. 2) σοῦ φονέως μεμνημένος, τοῦ καταστροφέως μου, Σοφ. Ο. Κ. 1361. 3) μεταφορ. φονεῖς εὐσεβείας Ἀντιφῶν 126. 35.

φονεύσιμος, η, ον, ὃν δύναταί τις νὰ φονεύσῃ, Σχόλ. εἰς Ἰλ. Χ. 13.

φονευτήριον, τό, δημόσιον σφαγεῖον, Γεωργ. Κεδρ. σ. 479.

φονευτής, οῦ, ὁ, = **φονεύς**, Ἑβδ. (Δ' Βασιλ. Θ', 31, Παροιμ. ΚΒ', 13)· πρβλ. Λοβέκ. εἰς Φρύνιχ. 317.

φονευτικός, ή, όν, θηλ. τοῦ **φονευτής**, Σχόλ. εἰς Εὐριπ. Ὀρ. 261.

φονεύω, μέλλ. -σω, ὡς καὶ νῦν, ἀποκτείνω, «σκοτώνω», τινὰ Ἡρόδ. 1. 35, 211, κ. ἀλλ., Αἰσχύλ. Θήβ. 341, Σοφ., κλπ.· μετὰ διπλῆς αἰτ., φόνον φ. τινὰ Σχόλ. εἰς Εὐρ. Ἑκ. 335· - ἀπολ., καὶ τίς φονεύει; Σοφ. Ἀντ. 1173, πρβλ. Ἠλ. 34. — Παθ., φονεύομαι, «σκοτώνομαι», Πινδ. Π. 11. 25, Εὐρ. Ι. Α. 1317, Θουκ. 8. 95. 2) ἐπὶ ζῴων, ἐὰν ζῷον .. τι φονεύῃ τινὰ Πλάτ. Νόμ. 873E.

φονή, ἡ, (*φένω) σφαγή, φόνος, ἀείποτε ἐν τῷ πληθ. (πλὴν παρὰ Σουΐδ.), ἀσπαίρειν ἐν ἀργαλέῃσι φονῇσιν Ἰλ. Κ. 521· μαχήσασθαι βοὸς ἀμφὶ φονῇσι Ἰλ. Ο. 633· τιθέναι τινὰ ἐν φοναῖς = φονεύειν Πινδ. Π. 11. 57· ἐν τῇσι φονῇσιν εἶναι, ἐν τῇ πράξει τοῦ φονεύειν, Ἡρόδ. 9. 76· ἐν φοναῖς πεσὼν Αἰσχύλ. Ἀγ. 446, πρβλ. Σοφ. Ἀντ. 666, 1314, Εὐρ. Ἠλ. 1207· οὕτως ἐν παρῳδουμένῳ Τραγικ. χωρίῳ, ἐν φοναῖς ὄλλυται Ἀριστοφ. Ὄρν. 1070· σπᾶν φοναῖς, διασπᾶν, σπαράττειν ἐν φόνῳ, δηλ. φονικῶς, Σοφ. Ἀντ. 1003 (ἔνθα ὁ Σχολ. ἡμαρτημένως λαμβάνει τὸ φοναῖς ὡς ἐπίθετ.)· ἄπεστιν ἐν φοναῖς θηροκτόνοις, ἀπουσιάζει φονεύων ζῷα ἐν θήρᾳ, Εὐρ. Ἑλ. 154. II. τόπος σφαγῆς, πεδίον μάχης, ἴδε Böckh εἰς Πινδ. Π. 11. 37 (56)· καὶ οὕτω τινὲς ἑρμηνεύουσι τὸ ἐν Ἰλ. Ο. 633.— Ποιητ. λέξις ἐν χρήσει ἅπαξ παρ' Ἡροδ. καὶ τοῖς μεταγεν. πεζογράφοις. ὁ δὲ τύπος **φόνος** εἶναι καὶ παρὰ ποιηταῖς συνηθέστερος, ἀποκλειστικῶς δὲ ἐν χρήσει ἐν τῷ πεζῷ Ἀττικῷ λόγῳ.

φονικός, ή, όν, (φόνος) ῥέπων πρὸς φόνον, αἱμοχαρής, αἱματηρός, γένος φονικώτατον Θουκ. 7. 29, πρβλ. Πλάτ. Φαῖδρ. 252 C, Διόδ. 18. 33, Αἰλ. κλπ.· φ. ἀδίκημα Λυκοῦργ. 154. 29· τὸ φονικόν, διάθεσις πρὸς φόνον, φονικὴ διάθεσις, Αἰλ. Ποικ. Ἱστ. 2. 17, κλπ. II. ὁ ἀνήκων εἰς φόνον ἢ ἀνθρωποκτονίαν, φ. δίκαι Ἀντιφῶν 125. 19, Ἀριστ. Πολιτικ. 3. 1, 10· φ. νόμοι, περὶ ἀνθρωποκτονίας πραγματευόμενοι, Δημ. 122. 13,, 528, 6,

κλπ.· φ. δικαστήριον Ἀριστ. Πολιτικ. 4. 16, 2· τὰ φονικά, πράξεις φονικαί, δολοφονίαι, φόνοι, ἀνθρωποκτονίαι, Ἰσοκρ. 48C, Ἀριστ. Πολιτικ. 2. 8, 20., 2. 12, 14· ὡσαύτως, τὸ φονικὸν αὐτόθι 4. 16, 2. — Ἐν χρήσει μόνον παρὰ τοῖς πεζολόγοις, ἴδε τὸ ἑπόμενον.

φόνιος, ον, καὶ ος, α, ον, ἴδε κατωτ.· ποιητ. ἐπίθ. (πρβλ. **φοίνιος**), ὁ δὲ παρὰ πεζογράφοις ἐν χρήσει τύπος εἶναι φονικός· ὁ ἐκ φόνου προελθών, θανάσιμος, φ. σταγόνες Αἰσχύλ. Χο. 400· τραῦμα Εὐρ. Ῥῆσ. 749. **II.** πλήρης αἵματος, ἐξ αἵματος ἀχνίζων, κεκηλιδωμένος αἵματι, χεῖρες Αἰσχύλ. Εὐμεν. 317· φ. πέλεκυς Σοφ. Ἠλ. 99· αἰχμὰ Εὐρ. Τρῳ. 819· ὄνυξ ὁ αὐτ. ἐν Ἑλ. 1089, κλπ. 2) αἱμοχαρής, φονικός, φόνον κατεργαζόμενος, δράκων Αἰσχύλ. Πέρσ. 82· πληγὴ ὁ αὐτ. ἐν Χο. 312· Ἀΐδας Σοφ. Ο. Κ. 1689· ὁρμὰ Ἀριστοφ. Ὄρν. 345· — μεταφορ. φ. ἄλγεα Πινδ. Ἀποσπ. 97· ἄχεα, ὀδύνη Εὐρ. Φοίν. 1031, κλπ.· ἔτι δέ, γῆρας Εὐρ. Ἡρ. Μαιν. 649· — οὐδέτ. πληθ. ὡς ἐπίρρ., φόνια δερκόμενον Ἀριστοφ. Βάτρ. 1337. 3) ἐπὶ ἐνεργειῶν, κτλ., φονικός, θανατηφόρος, ἀγὼν Εὐρ. Ὀρ. 334, Ἀριστ. Ἀποσπ. 624· φ. ἔργα, φονικὰ ἔργα, φόνοι, Εὐρ. Ἠλ. 1178· φ. κατάραι αὐτόθι 1324· — περὶ τοῦ φονίᾳ νεφέλᾳ, Σοφ. Τρ. 831, ἴδε νεφέλη I. 2.

φονό-βαπτος, ον, ὁ βεβαμμένος εἰς αἷμα, φονόβαπτα τὰ ξίφη Κ. Μανασσ. Χρον. 1448.

φονογνώμων, ον, ὁ φονικὴν γνώμην ἔχων, φονικός, Βελθ. κ. Χρυσ. στ. 1237, ἔκδ. Μαυρ.

φονόεις, εσσα, εν, αἱματηρός, Ἑλλ. Ἐπιγράμμ. (προσθῆκ.) 874a. 8, Θεόδ. Πρόδρ. ἐν Notices et Extraits τ. 8, σ. 184.

